ἐνήργει ἐπ' ἴσης μετὰ προσοχῆς καὶ συνέσεως, ὡς καὶ ὁ διδάσκαλος αὐτοῦ Διόδωρος.

ε'.] Ἐν τούτοις ὁ Χρυσόστομος ὀλίγας ἑρμηνείας εἰς τὴν Παλαιὰν Διαθήκην, συγκριτικῶς πρὸς τὰς εἰς τὴν Καινήν, ἔγραψεν, ὅπερ πάλιν δείκνυσι τὴν μεγάλην αὐτοῦ περίσκεψιν. Ἐκτὸς τῶν ὁμιλιῶν καὶ τῶν λόγων εἰς τὴν Γένεσιν(1), ἐκτὸς τῶν ὁμιλιῶν εἰς ὀκτὼ κεφάλαια τοῦ Ἡσαΐου(2), καὶ εἰς 36 ψαλμούς(3), οὐ πολλῶν ὁμιλιῶν εἰς τὴν ἱστορίαν τοῦ Σαμουὴλ καὶ Σαούλ(4), καὶ δύο ὁμιλιῶν περὶ ἀσαφείας τῶν προφητειῶν(5), νῦν εἰσι γνωσταὶ ὑπὸ τὸ ὄνομα τοῦ Χρυσοστόμου ἑρμηνεῖαι εἰς τὸν Προφήτην Δανιὴλ καὶ εἰς τὸ βιβλίον τοῦ Ἰώβ. Τὴν γνησιότητα τοῦ πρώτου συγγράμματος ἀδίκως ἡγήσαντό τινες ἀμφίβολον, διότι ἥ τε λέξις καὶ ἡ ἀρχαιότης τῶν ἀπογράφων δεικνῦσι τὸ γνήσιον τῆς συγγραφῆς. Ἐξεδόθη δ' ὅμως κατὰ τεμάχια, διότι ἐλήφθη ἐκ τῆς σειρᾶς (catena) τῶν ἑρμηνειῶν· ἔχει δὲ καὶ τὸν πρόλογον αὐτῆς(6), καὶ ἐγράφη ἐν ἐκτάσει(7). Τινὲς τῶν εἰς τὸ βιβλίον τοῦ Ἰὼβ ὁμιλιῶν τοῦ Χρυσοστόμου μετεφράσθησαν εἰς τὴν ἀρμενικὴν γλῶσσαν ἤδη ἐν τῷ πέμπτῳ αἰῶνι(8). Ἡ ἑρμηνεία αὐτοῦ εἰς τὸν Προφήτην Ζαχαρίαν ἦν γνωστὴ τῷ Πατριάρχῃ Ἀντιοχείας ἁγίῳ Ἐφραιμίῳ(9), ἀλλὰ νῦν ἐστιν ἄγνωστος. Λίαν μακραὶ ἐκλογαὶ ἐκ τῶν ἑρμηνειῶν αὐτοῦ εἰς τὸν Προφήτην Ἱερεμίαν διεσώθησαν(10).

(1) Ἴδ. σελ. 371. σημ. 1. καὶ σελ. 390. σημ. 2.

(2) Ἴδ. σελ. 370· σημ. 6. καὶ σελ. 398. σημ. 2.

(3) Ἴδ. σελ. 398. σημ. 1.—

(4) Ἴδ. σελ. 387. σημ. 3. καὶ σελ. 388 σημ. 2.

(5) Ἴδ. σελ. 371. σημ. 2.

(6) Ἡ ἑρμηνεία ἐξεδόθη ὑπὸ τοῦ Μοντφαουκονίου Τ. 6. σελ. 200, λίαν ἀμελῶς. Τὸν πρόλογον παραλειφθέντα ὑπὸ τοῦ Μοντφαουκονίου ἐξέδωκεν ὁ Βανδίνης.

(7) Ἴδ. *Maii* collect. vet. auct. T. 1. Prof. pag. 33.

(8) Βανδίνη Catal. cod. 13. Lavrent. 1, 408. Anecdota græca T. 2. pag. 182—184. Galland. Bibl. T. 8.—

(9) Φώτ. ἀνάγν. σκθ', σελ. 430.

(10) Caten. in Jerem., ed. Ghislerio, Lugd. 1623.

§. 175. Ὁ Χρυσόστομος ὡς ἑρμηνευτὴς τῆς Καινῆς Διαθήκης· γενικαὶ ἰδιότητες τῶν ἑρμηνειῶν αὐτοῦ· μερικαὶ ἀξίαι· Σύνοψις τῆς ἁγίας Γραφῆς.

2.] Ἐν τῇ ἑρμηνείᾳ τῆς Κ. Διαθήκης (1) παρατηρητέον τὰ ἐφεξῆς: α΄.] κατὰ τὸν κύριον χαρακτῆρα ὁ Χρυσόστομος μένει ὁ αὐτός, οἷον ὁρῶμεν καὶ ἐν τῇ τῆς Παλαιᾶς Διαθήκης ἑρμηνείᾳ· ἅπασαν δηλαδὴ τὴν προσοχὴν αὐτοῦ στρέφει εἰς τὸ ὁρίσαι μετ᾽ ἀκριβείας τὴν κατὰ γράμμα σημασίαν τῶν λέξεων τοῦ ἱεροῦ κειμένου. Ἡ ἀκριβὴς γνῶσις τῆς ἑλληνικῆς γλώσσης, ἐκτεινομένη καὶ εἰς τὸ πνεῦμα καὶ εἰς τοὺς τύπους αὐτῆς, ἀνέδειξε τὸν ἅγιον Χρυσόστομον, πρὸς τῇ προσοχῇ αὐτοῦ περὶ τὴν σημασίαν τῶν ἐκφράσεων, ἐξοχώτατον ἑρμηνευτὴν τῆς Καινῆς Διαθήκης. Ἐντεῦθέν ἐστιν ὁδηγὸς καὶ τοῖς λεξικογράφοις καὶ τοῖς γραμματικοῖς καὶ τοῖς ἑρμηνευταῖς ἁπάντων τῶν μετ᾽ αὐτὸν χρόνων.

---

(1) Πρὸς τὰς ἑρμηνευτικὰς ὁμιλίας εἰς τὴν Κ. Δ., ἐκτὸς τῶν προμνημονευθεισῶν ὁμιλιῶν εἰς τὸν Εὐαγγελιστὴν Ματθαῖον καὶ Ἰωάννην, εἰς τὰς Πρ. τῶν Ἀποστόλων, καὶ εἰς τὰς 14 ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου καὶ ἐκτὸς τῶν μνημονευθεισῶν ὡσαύτως ὁμιλιῶν εἰς μερικὰ χωρία τῆς Κ. Δ. ἐκφωνηθεισῶν ἐν ὡρισμένῳ χρόνῳ ἀναφέρονται ἔτι αἱ ὁμιλίαι, αἱ λεχθεῖσαι, ἄγνωστον πότε, εἰς τὸν Ματθαῖον, 26, 397, 14. Τ. 3. σελ. 15, 25, εἰς τὴν πρὸς Ρωμ. ἐπ. 5, 3. 8, 28. Τ. 3. σελ. 140, 150, εἰς τὴν Ά. πρὸς Κορινθ. 11, 1. Τ. 3. σελ. 291. Καθόλου αἱ ὁμιλίαι εἰς τὰ μερικὰ χωρία ἐξεδόθησαν ὑπὸ Μοντφαουκονίου ἐν τῷ γ΄. τόμῳ. Ἀλλὰ τὸ οὕτω καλούμενον ἀτελὲς σύγγραμμα εἰς τὸν Ματθαῖον *opus imperfectum in Mathaeum* (Τ. 6) οὐκ ἀνήκει εἰς τὸν ἅγ. Χρυσόστομον οὔτε κατὰ τὴν λέξιν, οὔτε κατὰ τὸ περιεχόμενον. Τοῦτο ἐγράφη λατινιστί· αἱ δὲ ῥήσεις ἀναφέρονται κατὰ τὴν Βουλγάταν· τὸ δὲ ὕφος οὐκ ἔστιν ἑλληνικόν, καὶ τοιοῦτον, ἐν ᾧ οὐδὲν εὕρηται Χρυσοστόμειον. Ὁ συγγραφεὺς ἀναφέρει τὰ ἀπόκρυφα βιβλία τοῦ Σήθ, τοῦ Ἐζεκίου, τοῦ Κλήμεντος, —ἐν ἐπιμέτρῳ δέ ἐστιν Ἀρειανός, καί, πιθανῶς ζήσας ἐν τῷ τέλει τοῦ Ε. αἰῶνος, ἐθρήνει ἐπὶ τῇ πτώσει τῆς αἱρέσεως αὐτοῦ (Homil. XLIX. dit. lat). Ἡ ὁμιλία εἰς τὸ ὅτι τῆς Π. καὶ Κ. Δ. εἷς ὁ νομοθέτης (Τ. 6.) ἐλέγχεται ὑποβολιμαία ὑπό τε τῆς

β΄.] Τὴν πιστοτάτην δὲ γνῶσιν τῆς ἐννοίας τοῦ λόγου τοῦ Θεοῦ ἠρύετο ὁ θεῖος Χρυσόστομος ἐκ τοῦ πνεύματος τῆς διδασκαλίας τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων. Βεβαίως μόνη ἡ γνῶσις τῆς γλώσσης οὐκ ἂν ἀπεδείκνυ αὐτὸν τοιοῦτον ἔξοχον ἑρμηνευτήν, οἷον ὁμολογοῦσιν αὐτὸν ἅπαντες, καθάπερ ἐκ τῶν νεωτάτων καὶ αὐτοὶ οἱ ἀκριβέστατοι γνῶσται, τῆς γλώσσης, μὴ κτησάμενοι τὸ καθαρὸν πνεῦμα τῆς Γραφῆς, πόρρω ἀπέχουσιν τῆς τελειότητος ἐν ταῖς ἑρμηνείαις αὐτῶν. Αὐτὸς ὁ Χρυσόστομος, εἰδὼς τὰς βάσεις τῆς καθαρᾶς ἑλληνικῆς γλώσσης, διέγνω καὶ ὡμολόγει, ὅτι ἡ γλῶσσα τῆς Καινῆς Διαθήκης οὐκ ἔστι καθαρά, ἐπεξειργασμένη ἑλληνικὴ γλῶσσα, καὶ ὅμως ἡρμήνευε τὸν λόγον τοῦ Χριστοῦ, ὡς ἐπεθύμησαν ἂν καὶ ἄλλοι ἑρμηνεῦσαι αὐτόν· ἡρμήνευε δὲ οὕτως, διότι βεθέως ἐνόει τὸ πνεῦμα τοῦ Χριστοῦ. Ὅπως δ' ἐννοήσωμεν τὸ τελευταῖον τοῦτο, ἀρκεῖ ἡμῖν ἀναγνῶναι τὴν πρώτην αὐτοῦ Ὁμιλίαν εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου καὶ τὰς δύο πρώτας Ὁμιλίας εἰς τὴν πρὸς Ρωμαίους Ἐπιστολήν.

γ΄.] Ἐν ἁπάσαις ταῖς εἰς τὴν Καινὴν Διαθήκην ἑρμηνείαις αὐτοῦ ἐστι διδάσκαλος τοῖς ἑρμηνευταῖς. Ἀλλὰ καὶ ὁ Διδάσκαλος οὐκ ἔστιν ἀείποτε ὁ αὐτός, συμμορφούμενος ταῖς περιστάσεσι τοῦ βίου. Ὁ Φώτιος ἐσημείωσεν, ὅτι «τὰς μὲν εἰς τὸν Ἀπόστολον (συγγραφάς) ἔστιν ἐξ αὐτῶν ἐκείνων ἐπιγνῶναι, ποῖαί τε αὐτῶν ἐν Ἀντιοχείᾳ διατρίβοντι ἐξεπονήθησαν, αἳ καὶ μᾶλλον διηκρίβωνται, καὶ ποῖαι ἀρχιερατεύοντι ἐποιήθησαν»(¹). Ἡ σημείωσις αὕτη ἐστὶν ὀρθή, ἀλλ' οὐκ ἐφαρμόζεται δι' ἁπάσας τὰς ἐν Κ]πόλει ἐκφωνηθείσας ὁμιλίας, οὐδὲ εἰς ὅλας τὰς ἐκπονηθείσας καθ' ἅπαντα τὸν χρόνον τῆς ἐν Ἀντιοχείᾳ διατριβῆς τοῦ Χρυσοστόμου. Οὐδεμία ἀμφιβολία, ὅτι τὴν πρώτην θέσιν μεταξὺ ἁπασῶν τῶν ἑρμηνευτικῶν ὁμιλιῶν αὐτοῦ κατέχουσιν αἱ εἰς τὸ τὸ Εὐαγγέλιον τοῦ Ματθαίου [*]. Αἱ ὁμιλίαι

λέξεως καὶ τῆς πενίας τοῦ περιεχομένου.—

(¹) Ἀνάγν. ροβ΄. ρογ΄. ροδ΄.

[*] Ἀναντίρρητόν ἐστιν, ὅτι τὸ σύγγραμμα τοῦτό ἐστιν ἀνώτερον ἁπάντων τῶν γνωστῶν ὑπομνημάτων· οὐδὲν τῶν ἐν τῷ χριστιανικῷ κόσμῳ βιβλίων περιέχει τοσαῦτα καὶ τηλικαῦτα τῆς χριστιανικῆς ἠθικῆς διδάγματα· οὐδέποτε ὁ θεῖος Χρυσό-

αὗται, ζῶντος αὐτοῦ τοῦ Χρυσοστόμου, μετεφράσθησαν εἰς τὴν λατινικὴν γλῶσσαν [1] καὶ τὴν συριακήν [2]. Ἡ ἑρμηνεία εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου πρὸς τῇ ἀκριβείᾳ τῆς ἐξηγήσεως τῶν λέξεων, περιέχει ἔτι τοῦτο τὸ ἰδιάζον, ὅτι ἐνταῦθα παραβάλλονται πρὸς τὴν διήγησιν τοῦ ἁγίου Ματθαίου αἱ διηγήσεις τῶν ἄλλων Εὐαγγελιστῶν. Αὐστηρὰ προσοχὴ δίδοται εἰς τὸν χρόνον καὶ τὴν περίστασιν τῶν γεγονότων καὶ τῶν θαυμάτων· ἐκτίθενται καὶ ἐξακριβοῦνται αἱ ἀμφιβολίαι περὶ τῆς σημασίας τῶν λέξεων τοῦ Εὐαγγελιστοῦ· παραλείπομεν εἰπεῖν, ὅτι πρὸ παντὸς ἄλλου δίδοται προσοχὴ εἰς τὴν κατὰ γράμμα σημασίαν τῶν λέξεων. Περὶ τῶν εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν ὁμιλιῶν ἔγραψεν ὁ ἅγιος Ἰσίδωρος τάδε: «Ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Ρωμαίους ἐπιστολῆς μάλιστα, ὦ ὁμώνυμε, ἡ Ἰωάννου τοῦ πανσόφου σοφία τεθησαύρισται. Οἶμαι γάρ,

---

στομος ἐχρήσατο τηλικαύτῃ εὑρέσει, εὐεπείᾳ, σαφηνείᾳ, δεινότητι, βαθυνοίᾳ. Οὐδὲν βιβλίον δύναται εἶναι οὕτως ὠφέλιμον πρὸς μόρφωσιν τῶν ἠθῶν, ἐπανόρθωσιν τῶν ἐλαττωμάτων, στηριγμὸν τῆς ἀρετῆς, καὶ οἰκοδομὴν τῶν λαῶν. Ἐντεῦθεν πάνυ ὀρθῶς ἔλεγεν ὁ παρὰ τοῖς Δυτικοῖς ἐπισημότατος Θεολόγος Θωμᾶς ὁ Ἀκυνάτης, ὅτι μᾶλλον ἐβούλετο χρῆσθαι αὐτῷ, ἢ κατέχειν καὶ καρποῦσθαι τὴν Λουκοτοκίαν τῶν Παρισίων. Σ. Μ.—

(1) Ὑπὸ τοῦ διακόνου Ἀνιανοῦ συγχρόνου τῷ μακαρίῳ Αὐγουστίνῳ· ἴδ. τὸν πρόλογον αὐτοῦ εἰς τὴν μετάφρασιν τῶν ὁμιλιῶν τοῦ Χρυσοστόμου. apud Montfaucon. T. 7. Γεώργιος ὁ Τραπεζούντιος συνεπλήρωσε ταύτην τὴν μετάφρασιν. Τῷ 1181 Ἰωάννης ὁ Βουργουνδίων διαταγῇ τοῦ Π. Εὐγενίου τοῦ γ΄. μετέφρασεν ἐκ νέου τὰς ὁμιλίας ταύτας ὡς καὶ τὰς εἰς τὸν Ἰωάννην. Mabillonius in itinerario Hal. p. 164. Robertus in continuat. Chronici Sigeberti ad. an. 1180.—

(2) Ὁ Ξενάγιας, Σύρος συγγραφεύς, ἀκμάσας ἐν τῷ τέλει τοῦ Ε. καὶ ἐν τῇ ἀρχῇ τοῦ ς΄. αἰῶνος, ἤδη παρῆγε μαρτυρίας ἐκ τῶν ὁμιλιῶν εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου καὶ τοῦ Ἰωάννου, εἰς τοὺς ψαλμούς. Assemani bibl. or. T. 2. pag. 28. Ἡ συλλογὴ τῶν ἑρμηνειῶν εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου καὶ τὸ τοῦ Ἰωάννου, ἐκλεγεισῶν ἐκ τοῦ Εὐσεβίου καὶ τοῦ Χρυσοστόμου ἐστὶ καὶ νῦν ἐν συρ. ἀπογρ. τοῦ θ΄. αἰῶνος. Maii collect. vet. auct. T. 5. cod. Syr. 26. p. 11. ἴδ. σελ. 452 σημ. 2. καὶ αὐτόθι περὶ τῆς ἀρμεν. μεταφράσεως.—

καὶ μή τίς με πρὸς χάριν λέγειν νομιζέτω, ὅτι εἰ Παῦλος ὁ θεσπέσιος Ἀττικὴν εἴληφε γλῶτταν, ὥστε ἑαυτὸν ἑρμηνεῦσαι, οὐκ ἂν ἄλλως ἡρμήνευσεν ἢ ὡς ὁ προειρημένος ἀοίδιμος ἀνήρ· οὕτω καὶ ἐνθυμήμασι, καὶ κάλλει, καὶ κυριολεξίᾳ κεκόσμηται ἡ ἑρμηνεία» (1). Αἱ εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν ὁμιλίαι, κατὰ τὴν γενικὴν κρίσιν, εἰσὶν ὅμοιαι ταῖς εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου. Κατὰ τὴν ἀκρίβειαν τῆς ἑρμηνείας τῶν λόγων τοῦ Ἀποστόλου, εἰ καὶ οὐ κατὰ τὴν ὡραιότητα τῆς γλώσσης, ὑψηλὴν κατέχει θέσιν καὶ ἡ ἑρμηνεία εἰς τὴν πρὸς Γαλάτας ἐπιστολήν. Αὕτη μᾶλλον τῶν ἄλλων ἑρμηνειῶν τοῦ Χρυσοστόμου προσεγγίζει τῇ γνησίᾳ μορφῇ τοῦ ὑπομνήματος, διότι κατ' ἐξοχὴν διασαφεῖ τοὺς λόγους τοῦ Ἀποστόλου ἄνευ ἀποφυγῆς τῶν ἠθικῶν διδασκαλιῶν. Μετ' αὐτὴν ἀνενεκτέον εἰς τὰς ἀρίστας ἑρμηνείας τοῦ Χρυσοστόμου τὰς ὁμιλίας εἰς τὴν Α'. πρὸς Κορινθίους ἐπιστολὴν καὶ εἰς τὴν πρὸς Ἐφεσίους. Ἐν ταῖς εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου ὁμιλίαις δίδωσι πλείστην ὅσην προσοχὴν εἰς τὰς ἀρειανικὰς ἑρμηνείας τῶν λέξεων τοῦ Εὐαγγελιστοῦ, καὶ διὰ τοῦτο ἡ ἑρμηνεία αὕτη ἦν λίαν ὠφέλιμος ὡς πρὸς τὰς δογματικὰς διασαφήσεις καὶ τὰς ἠθικὰς διδασκαλίας· οὐχ ἧττον δὲ ὠφέλιμος ἦν καὶ τοῖς μετὰ ταῦτα χρόνοις. Ἔλασσον ἁπασῶν τῶν ἄλλων διαπρέπουσι ταῖς ἐξωτερικαῖς τελειότησι (τῇ λέξει) αἱ ὁμιλίαι εἰς τὰς Πράξεις τῶν Ἀποστόλων καὶ αἱ εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν· αὗται διαφέρουσι κατὰ τὸ ἁπλοῦν καὶ ἄτεχνον τῶν ἄλλων ἑρμηνειῶν τοῦ Χρυσοστόμου τοσοῦτον, ὥστε ὁ Ἔρασμος ἀμφέβαλλεν, εἰ ἀνήκουσιν εἰς αὐτόν, καί τοι αἱ ἀμφιβολίαι αὗταί εἰσι μά-

(1) Βιβλ. Ε'. ἐπ. 32 Ἰσιδώρῳ διακόνῳ. Περὶ τῆς ἐν ὁράματι ἐμφανείας τοῦ Ἀποστ. Παύλου τῷ Χρυσοστόμῳ, ἐπιθυμήσαντι πεισθῆναι περὶ τῆς ἀξιοπιστίας τῶν ἑρμηνειῶν αὐτοῦ, ὁμιλοῦσιν—ὁ Ἀλεξανδρείας Γεώργιος, Ἰωάννης ὁ Δαμασκηνός (λόγ. ά. περὶ εἰκ. ap. Billium, pag. 462), ἄγνωστος Βιογράφος, ὁ Μεταφραστής, καὶ ὁ Αὐτοκράτωρ Λέων. Εἰς μάτην ὁ Σαβίλιος ἀμφιβάλλει περὶ τούτου λέγων, ὅτι αἱ ἄρισται τῶν ἑρμηνειῶν εἰς τὰς ἐπ. τοῦ Ἀποστόλου Παύλου ἐγράφησαν ὑπὸ τοῦ Χρυσοστόμου ἐν Ἀντιοχείᾳ, αἱ δὲ ἐν Κωνστατινουπόλει γραφεῖσαί εἰσιν ἀσθενεῖς καὶ ἐν πολλοῖς ἐλλειπεῖς, καὶ διὰ τοῦτο ἡ τῶν τελευταίων ἐπιδοκιμασία τοῦ Ἀποστόλου ἦν ἄν, λέγει, ἄδικος.—

ται (¹). Τὸ τοιοῦτον εἶδος τῶν ἑρμηνειῶν τούτων ἐξηρτᾶτο τὸ μὲν ἐκ τοῦ ὅτι ἐξεφωνήθησαν ἐν τῷ ταραχώδει χρόνῳ τοῦ βίου τοῦ Χρυσοστόμου, τὸ δὲ ἐκ τοῦ ὅτι διὰ τὴν αὐτὴν ταραχὴν τῶν περιστάσεων ὁ πολύτλας ἱεράρχης οὐκ ἠδύνατο ἐπεξεργάσασθαι μετὰ προσοχῆς τὰς σημειώσεις, τὰς γραφείσας ἐκ τῶν λόγων αὐτοῦ ὑπ᾽ ἄλλων (²).

(¹) Περὶ τῆς γνησιότητος αὐτῶν Πρβλ. Μοντφαουκόν. Præf. ad homil. in Act. Apostol. Εἰς ἀπόδειξιν τῆς γνησιότητος τῶν εἰς τὰς Πρ. τῶν Ἀποστ. ὁμιλιῶν ὁ Σαβίνιος (Præfat. ad homil. in Act. Apostol.) ὀρθῶς ἀναφέρει τὸν Φώτιον (ἀνάγν. ρϛʹ.), ἐπαναλαμβάνοντα λόγους τῆς μδʹ. ὁμιλ. (σελ. 335. edit. Monfaucon.), καὶ τὸν Δαμασκηνὸν (περὶ ὀρθ. πίστ. γʹ. 15) παράγοντα λόγους τῆς Α. ὁμιλ., ἔπειτα χωρία τῆς ιά. καὶ μά. ὁμιλ. ἔνθα ὁ ῥήτωρ παρίστησιν ἑαυτὸν σύγχρονον τῷ Ἰουλιανῷ καὶ τῷ Θεοδοσίῳ τῷ μεγ. καὶ τὰ χωρία, ἔνθα καλεῖ ἑαυτὸν ἐπίσκοπον.

(²) Ὁ Μοντφαουκόνιος λέγει, ὅτι τὰ ἀπόγραφα τῶν εἰς τὰς Πράξεις ὁμιλιῶν καὶ ἰδίως τῶν εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν κατὰ τὰς μερικὰς ἐκφράσεις καὶ τὴν συνθήκην τῶν λέξεων, οὐχὶ δὲ καὶ κατὰ τὴν ἔννοιαν, λίαν διαφέρουσι πρὸς ἄλληλα. Τοῦτο ἀναμφιβόλως προέρχεται ἐκ τούτου, ὅτι αὐτὸς ὁ ἅγιος Χρυσόστομος οὐκ εὐκαίρει ἐπεξεργάζεσθαι ταύτας καὶ ἐκείνας τὰς ὁμιλίας, ὡς ἐπεξειργάζετο τὰς ἄλλας. Ἀνωτέρω (σελ. 426. σημ. 3.) εἴδομεν, ὅτι αἱ ὁμιλίαι εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν ἐξεδόθησαν ἀπὸ σημείων τοῦ πρεσβυτέρου Κωνσταντίνου. Τὰ σημεῖα ταῦτα ἦσαν αὐτὰ ἐκεῖνα, ἅ, ὡς λέγει ὁ Σωκράτης (ϛʹ. 4), ἐγράφοντο ὑπὸ τῶν ὀξυγράφων καθ᾽ ὃν χρόνον ἠγόρευεν ὁ Χρυσόστομος. Κατὰ τὸν αὐτὸν τρόπον ἐγράφοντο καὶ οἱ λόγοι τοῦ Θεολόγου. Παρὰ τῷ Φιλοστράτῳ (ἐν β. Ἀλεξάνδρ. κεφ. 3) οἱ τοιοῦτοι ὀξυγράφοι καλοῦνται σημείων Γραφεῖς, ἄνθρωποι συνήθεις ἐν τοῖς δημοσίοις ἑλληνικοῖς βήμασιν. Ὅσον ἀφορᾷ ἰδίως τὸν Κωνσταντῖνον, ἤ Κωνστάντιον, ὡς καλεῖται ἐν ταῖς ἐπιστολαῖς τοῦ Χρυσοστόμου καὶ ἐν ἰδίαις ἐπιστ. ὁ Μοντφαουκόνιος ἐκ διαφόρων ἀπογράφων τῶν ὁμιλιῶν εἰς τὴν πρὸς Ἑβραίους ἐπιστ. ἐδήλωσεν, ὅτι ἐκτὸς τῆς κριτικῆς τοῦ Κωνσταντίου ἦσαν καὶ ἄλλαι, καὶ ὅτι ἡ κριτικὴ αὐτοῦ οὐ πανταχοῦ διαπρέπει ἐπὶ ἀξιοπιστίᾳ ἐν συγκρίσει πρὸς τὰς σημειώσεις τῶν ἄλλων. Ὁ πόνος τοῦ Κωνσταντίνου ἐκτήσατο ἰδίαν σπουδαιότητα διὰ τὴν πρὸς αὐτὸν οἰκειότητα τοῦ Ἱεράρχου. Ἐπιστ. πρὸς Κωνστάντ. 221, 225. Ἐπιστολ. Κωνσταντ. 237—241. Τ. 3. Ὁ Κωνστάντιος

Αἱ ὁμιλίαι εἰς τὰς Πράξεις, ἐλαττούμεναι τῶν ἄλλων κατὰ τὴν ὡραιότητα τῆς φράσεως καὶ τὴν ἀκρίβειαν τῶν ἑρμηνειῶν, ὑπερτεροῦσιν ἐν ταῖς ἠθικαῖς διδασκαλίαις ἄλλων τινων ἑρμηνευτικῶν ὁμιλιῶν. Σημειώσωμεν ἔτι ἓν σύγγραμμα τοῦ Χρυσοστόμου, ἀναφερόμενον εἰς τὴν ἐκμάθησιν τοῦ λόγου τοῦ Θεοῦ, δηλαδὴ τὴν Σύνοψιν τῆς Παλαιᾶς τε καὶ Καινῆς, ὡς ἐν τάξει ὑπομνηστικοῦ. Τὸ σύγγραμμα τοῦτο ἔμεινε μετὰ τὸν Χρυσόστομον ἀτελές, καί, ὡς δείκνυσι τὸ περιεχόμενον, ἐγράφη πρὸς οἰκιακὴν χρῆσιν. Τὸ τοιοῦτον εἶδος τῆς Συνόψεως ἔδωκέ τισιν ἐν τῷ μετὰ ταῦτα τὴν ἰδέαν τοῦ ἀναπληρῶσαι τὸ ἀτελὲς ἔργον τοῦ μεγάλου Διδασκάλου, καὶ ἡ Σύνοψις τοῦ Χρυσοστόμου ἐφάνη μετὰ συμπληρώσεων ἐκ τῆς οὕτω καλουμένης Συνόψεως τοῦ Ἀθανασίου (1). Τὸ γνήσιον σύγγραμμα τοῦ θείου

οὗτος ἐξελέγη μετὰ τὸν ἅγιον Φλαβιανὸν Π. Ἀντιοχείας, ἀλλ' οἱ ἐχθροὶ τοῦ Χρυσοστόμου ἠκύρωσαν τὴν ἐκλογήν. Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι αὐτὸς ὁ Μοντφαουκόνιος οὐκ ἦν λίαν προσεκτικὸς ἐν τῇ ἐκδόσει τῶν ὁμιλιῶν εἰς τὰς Πρ. τῶν Ἀποστ. καὶ εἰς τὴν πρὸς Ἑβρ. ἐπιστ., ὡς ἐν ἄλλαις περιστάσεσι. Μέγα μέρος τῶν διαφόρων γραφῶν ἐστι καρπὸς τῶν ἀντιγραφέων.

(1) Τ. 6. σελ. 314. Ὁ Μοντφαουκόνιος ἐξέδωκε τὴν Σύνοψιν ἐκ τῶν δύο ἀπογράφων τῆς Κοϊσλινιανῆς Βιβλιοθήκης καὶ τῆς λουγδουνείου. Περὶ τοῦ τελευταίου ἀπογράφου, ἐν ᾧ ἔτι ὁ Οὐόσσιος οὐ παρεδέχετο ὁρᾷν σύγγραμμα τοῦ Χρυσοστόμου, λέγει, ὅτι περιέχει πλεῖστα τοιαῦτα, ἅπερ οὐκ εἰσὶν ἐν τῷ Κοϊσλινιανῷ. Ὁ Μοντφαουκόνιος ἐξέδωκε ταῦτα πάντα ὡς σύγγραμμα τοῦ Χρυσοστόμου· ἀλλὰ τὰς συμπληρώσεις τοῦ λουγδουνείου ἀπογράφου ἀδύνατον παραδέξασθαι ὡς σύγγραμμα τοῦ Χρυσοστόμου, διότι α'.] ἡ λέξις αὐτῶν ἐστι πάντῃ διάφορος τῆς τοῦ Κοϊσλινιανοῦ χειρογρ., φέροντος τὴν σφραγῖδα Χρυσοστομείου συγγράμματος· ἀλλ' οὐδαμῶς δυνάμεθα εἰπεῖν τὸ αὐτὸ περὶ τῶν συμπληρώσεων· β'.] αἱ συμπληρώσεις τοῦ λουγδουνείου ἀπογρ. εἰσὶ σχεδὸν λέξιν πρὸς λέξιν ὅμοιαι τῇ οὕτω καλουμένῃ συνόψει τοῦ Ἀθανασίου, ὡς τοῦτο σημειοῖ καὶ ὁ Μοντφαουκόνιος· γ'.] ἡ ὁμοιότης αὐτῶν τῇ συνόψει τοῦ Ἀθανασίου καὶ ἡ διαφορὰ ἀπὸ συγγράμματος τοῦ Χρυσοστόμου καταφαίνεται ἔτι ἐν αὐτῷ τῷ εἴδει τῆς Συνόψεως· ἐν αὐταῖς καὶ τῇ Συνόψει αα] ἑρμηνεύεται ἡ ὀνομασία ἑκάστου βιβλίου, ϐϐ] γίνεται λόγος περὶ τοῦ συγγραφέως τοῦ βιβλίου καὶ τοῦ χρόνου αὐτοῦ· ἐν δὲ τῇ Συνόψει τῇ κατὰ τὸ Κοϊσλινιανὸν ἀπόγρ. τοῦτο οὐκ

Πατρὸς περιέχει ά.] ἐξαίρετον γενικὴν προθεωρίαν τῆς ὑποθέσεως τῶν κανονικῶν βιβλίων τῆς Παλαιᾶς τε καὶ Καινῆς Διαθήκης, β΄.] μερικὴν προθεωρίαν τῆς Γενέσεως, τῆς Ἐξόδου, τῶν Ἀριθμῶν, τοῦ Δευτερονομίου, τοῦ Ἰησοῦ τοῦ Ναυῆ, τῶν Κριτῶν, τῆς Ρούθ, τῶν τεσσάρων βιβλίων τῶν Βασιλειῶν (1), τοῦ βιβλίου τοῦ Ἰώβ (2), τῶν τεσσάρων μεγάλων καὶ ἑπτὰ μικρῶν προφητῶν. Ὁ ἀριθμὸς τῶν καθολικῶν ἐπιστολῶν περιορίζεται παρ᾽ αὐτῷ μόνον εἰς τρεῖς, οὐ ποιεῖται δὲ μνείαν καὶ τῆς Ἀποκαλύψεως· ἴσως, διότι οὕτως ἐδόξαζον περὶ ταύτης καὶ ἐκείνης τῆς ὑποθέσεως κατὰ τὸν χρόνον αὐτοῦ ἐν τῇ συριακῇ Ἐκκλησίᾳ (3). Ἐν τοσούτῳ ἐν ἄλλοις αὐτοῦ συγγράμμασι παράγει μαρτυρίας καὶ ἐκ τῆς Β΄. Ἐπιστολῆς

ἔστιν. Ἐκ τούτου ἐξάγεται, ὅτι μεταγενέστερος συγγραφεύς, οὐχ εὑρίσκων ἐν τῇ Συνόψει τοῦ Χρυσοστόμου τὴν ἐπιθεώρησιν βιβλίων τινῶν, συνεπλήρωσε τὴν σύνοψιν αὐτοῦ ἐκ τῆς τοῦ Ἀθανασίου.—

(1) Ἐξαιρουμένου τοῦ τελευταίου μέρους τῆς Συνόψεως, σελ. 558, ληφθέντος ἐκ τοῦ λουγδουνείου ἀπογράφου. Ἐντεῦθεν ἐπ᾽ ἴσης ἐλήφθη ἡ σύνοψις τοῦ Λευϊτικοῦ καὶ τῶν Παραλειπομένων.

(2) Ἐξαιρουμένου τοῦ πρώτου μέρους, σελ. 367, μὴ ἀνήκοντος εἰς τὸν Χρυσόστομον οὔτε κατὰ τὴν λέξιν, οὔτε κατὰ τὸ περιεχόμενον.

(3) Ἡ Συριακὴ Ἐκκλησία οὐκ ἀνεγίνωσκεν ἐν τῷ Κανόνι τὰς τέσσαρας καθολικὰς ἐπιστολὰς καὶ ἐπὶ τοῦ Ἰουστινιανοῦ, ὡς περὶ τούτου γράφει Κοσμᾶς ὁ Ἰνδικοπλεύστης: «Παρὰ Σύροις δὲ εἰμὴ αἱ τρεῖς μόναι αἱ προγεγραμμέναι οὐχ εὑρίσκονται· λέγω δή, Ἰακώβου, καὶ Πέτρου, καὶ Ἰωάννου. Αἱ ἄλλαι γὰρ οὔτε κεῖνται παρ᾽ αὐτοῖς. Οὐ χρὴ οὖν τὸν τέλειον χριστιανὸν ἐκ τῶν ἀμφιβαλλομένων ἐπιστηρίζεσθαι, τῶν ἐνδιαθέτων καὶ κοινῶς ὡμολογημένων Γραφῶν ἱκανῶς πάντα μηνυόντων» (Collect. vet. Auct. Montfauconii peg. 229). Τὸ αὐτὸ μαρτυρεῖ πρεσβύτερός τις τῆς Ἀντιοχείας, σύγχρονος τῷ Χρυσοστόμῳ, λέγων: «αὐτὸς ἐκεῖνος ὁ κήρυξ, ὁ ταύτας κηρύξας, αὐτῷ ἐν τῇ ἐπιστολῇ τῇ ἑαυτοῦ γράφων· τῶν δὲ ἐκκλησιαζομένων, οὐ τῶν ἀποκρύφων μὲν ἡ πρώτη ἐπιστολή· τὴν γὰρ δευτέραν καὶ τρίτην οἱ πατέρες ἀποκανονίζουσι. Τὴν μέν τοι πρώτην ἐπιστολὴν ἅπαντες εἶναι Ἰωάννου συμφώνως ἀπεφήναντο». Τ. 6. σελ. 309.—

τοῦ Πέτρου (1). Ἡ γνησιότης τῆς Συνόψεως τοῦ Χρυσοστόμου ἐστὶν ἀναμφισβήτητος (2).

§. 176. III. Ὁ Χρυσόστομος ὡς δογματικὸς διδάσκαλος.

III. Ἰδίᾳ δογματικὰ συγγράμματα ὀλίγα συνέγραψεν ὁ θεῖος Χρυσόστομος, καὶ ταῦτα πάλιν διατρανοῦσι τὴν περὶ τῆς ἠθικῆς καταστάσεως τῆς ψυχῆς μέριμναν τοῦ Ἱεράρχου. Ἐν τοῖς πρὸς Σταγείριον λόγοις αὐτοῦ λύει τὸ ζήτημα, διατί, εἰ ἔστι Πρόνοια,

---

(1) Β΄. Πέτρ. γ΄. 10. Ὁμιλ. κγ΄. εἰς τὰς Πρ. τῶν Ἀποστ. ὁ Δουκαῖος μνημονεύει ἄλλων τινῶν παρὰ τῷ Χρυσοστόμῳ χωρίων καὶ ἐκ ταύτης τῆς ἐπιστολῆς, καὶ ἐκ τῆς Ἀποκαλύψεως, ἀλλ' οὐ πάντη ἀναμφισβητήτων.

(2) Ὡς ἀπόδειξις τῆς γνησιότητος, ἐκτὸς τῆς λέξεως καὶ τῶν χειρογράφων, χρησιμεύει α΄.] ἐν τῇ Συνόψει τῆς Γενέσ. ἡ ἔννοια: «Εὐλογεῖ μὲν τὸν Σὴμ καὶ τὸν Ἰάφεθ, καταρᾶται δὲ τὸν Χαναάν, ἐπειδὴ ὁ πατὴρ αὐτοῦ Χὰμ ἐξεῖπε τὴν γύμνωσιν τοῦ πατρός· ἐκβαίνει δὲ ἡ κατάρα ἐπὶ τῶν Γαβαωνιτῶν· μᾶλλον δὲ πρόσχημα μὲν κατάρας ἦν, τὸ δὲ ἀληθὲς προφητεία». Ἡ τοιαύτη δοξασία περὶ τῆς ἐκπληρώσεως τῆς κατάρας τῆς κατὰ τοῦ Χανάαν ἀπαγγελθείσης, ἀνῆκεν ἰδίως εἰς τὸν Χρυσόστομον, καὶ ταύτην ἐκτίθησιν ἐν τῇ ἑρμηνείᾳ εἰς τὸν Ἡσαΐαν β΄. 1. Τ. 6. σελ. 19.—β΄.] ἐν τῇ αὐτῇ Συνόψει τῆς Γενέσεως: «λαμβάνει ὁ πατὴρ τοῦ Ἀβραὰμ ὁ Θάρα τοὺς υἱοὺς αὐτοῦ, τόν τε Ἀβραὰμ καὶ τὸν Ναχώρ, καὶ τὸν ἔγγονον αὐτοῦ Λώτ, καὶ ἔρχεται εἰς Χαράν». Ἡ λέξις Ναχὼρ ἐτέθη ἐν τῷ κειμένῳ τοῦ Μωϋσέως ἐναντίον τοῦ πρωτοτύπου καὶ τῆς μεταφράσεως τῶν Ο. ἡ τοιαύτη δὲ ἀνάγνωσις ἀπαντᾷ μόνον παρὰ τῷ Χρυσοστόμῳ. Ἴδ. ὁμιλ. λα΄. εἰς τὴν Γέν. σελ. 304. Τ. 4. καὶ σελ. 308. γ΄.] ὁ συγγραφεὺς τῆς Συνόψεως καθάπτεται πολλάκις τῶν Ἰουδαίων, ὡς τοῦτο ἐποίει ὁ Χρυσόστομος ἐν ταῖς ὁμιλίαις αὐτοῦ ταῖς ἐν Ἀντιοχείᾳ ἐκφωνηθείσαις. Ἴδ. π. χ. τὴν σύνοψιν τοῦ Ἰερεμίου: ἔνθα λέγει: «καὶ ἐὰν ποιήσωσι τὸ πονηρόν, οὐ ποιήσω κἀγὼ περὶ τῶν ἀγαθῶν, ὧν ἐλάλησα ποιῆσαι αὐτοῖς. Τοῦτο δὲ χρήσιμον πρὸς Ἰουδαίους τὸ κεφάλαιον, ὅταν λέγωσιν, ὅτι ἐπηγγείλατο αὐτοῖς ἀγαθὰ ὁ Κύριος. Ἀπειθήσαντες γὰρ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, αὐτοὶ ἑαυτοῖς αἴτιοι ἐγένοντο τῶν παρόντων κακῶν». Ὁ Χρυσόστομος ἐν ταῖς κατὰ τὴν Ἀντιόχειαν ὁμιλίαις αὐτοῦ ἔλεγεν, ὅτι

πάσχουσιν οἱ δίκαιοι; . Περὶ τῆς αὐτῆς ὑποθέσεως ὁμιλεῖ ἐν τῷ λόγῳ εἰς τὸν μακάριον Βαβύλαν καὶ κατὰ Ἰουλιανοῦ, καὶ πρὸς Ἕλληνας, καὶ ἐν τοῖς λόγοις περὶ Εἱμαρμένης τε καὶ Προνοίας (¹). Ἐν τοῖς περὶ Ἀκαταλήπτου πέντε λόγοις, οὓς ἔγραψε πρὸς ἔλεγχον τῶν Ἀνομοίων, ὀπαδῶν τοῦ παρατόλμου Εὐνομίου, δείκνυται τὸ ἀκατάληπτον τοῦ Θεοῦ ἐκ τῆς ἁγ. Γραφῆς, καὶ τοῦτο ἐξάγεται ἐκ τῆς ἐννοίας καὶ τοῦ ἀπείρου τοῦ Θεοῦ. Ἐν τοῖς ἄλλοις ἑπτὰ λόγοις πρὸς Ἀνομοίους δείκνυται τὸ ὁμοούσιον τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ Πατρί. Ἀξιοσημείωτος ἡ Ὁμιλία περὶ τοῦ ἁγίου Πνεύματος διὰ τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ τοῦ Πατρὸς διδασκαλίαν (²). Ἐν τῷ βιβλίῳ πρός τε Ἰουδαίους καὶ Ἕλληνας δείκνυται ἡ θειότης τῆς χριστιανικῆς διδασκαλίας διὰ τῆς ἐκπληρώσεως τῶν προφητειῶν καὶ διὰ τῶν ἐνεργειῶν τοῦ κηρύγματος τοῦ Σταυροῦ ἐπὶ τὰς καρδίας τῶν ἀνθρώπων, ἐν δὲ τοῖς ὀκτὼ κατὰ Ἰουδαίων λόγοις καταδείκνυται, ὅτι αἱ ἰουδαϊκαὶ τελεταὶ κατελύθησαν, καὶ διὰ τοῦτο ἡ ἐκπλήρωσις νῦν αὐτῶν ἐστιν ἐναντία τῆς θελήσεως τοῦ Θεοῦ. Πολλάκις ὡμίλει κατὰ τῶν Μανιχαίων, ὑπερασπίζων τὴν τελειότητα τῆς δημιουργίας τοῦ Θεοῦ καὶ τὸ ἑνιαῖον τοῦ Δημιουργοῦ πάντων ὁρατῶν τε καὶ ἀοράτων, ἔστιν ὅτε ὡμίλει καὶ κατ' ἄλλων αἱρετικῶν (³).

τὰς περὶ τῶν τελετῶν ἐντολὰς οὐκ ἔχρῆν πληροῦν μετὰ τοιαύτης κατὰ γράμμα αὐστηρότητος, μεθ' οἵας ἐξεπλήρουν οἱ Ἰουδαῖοι, καὶ ἐμνημόνευε τοῦ παραδείγματος τῶν ἁγίων ἀνδρῶν. Ἰδ. εἰς Ἡσ. α΄. σελ. 9. εἰς ψαλμ. μγ΄. σελ. 150. Αὐτὸ τοῦτο ἐπαναλαμβάνεται πολλάκις ἐν τῇ Συνόψει καὶ ἰδίως ἐν τῇ τοῦ βιβλίου τοῦ Ἰησοῦ τοῦ Ναυῆ.—

(¹) Τ. 2.—

(²) Τ. 3. σελ. 797. Ὁ Μοντφαουκόνιος τάσσει τὴν ὁμιλίαν ταύτην ἐν τοῖς νόθοις συγγράμμασι τοῦ ἁγίου Πατρός. Ἀλλὰ τοῦτό ἐστιν αὐθαιρεσία. Οὐ μόνον ὁ Φώτιος ἡγεῖται αὐτὴν ἔργον τοῦ Χρυσοστόμου (ἀνάγν. σοζ΄.), ἀλλὰ καὶ ὁ Ἰωάννης Βέκκος, ὁ χαίρων ἐπὶ ταῖς δοξασίαις τοῦ παπισμοῦ, οὐκ ἀπέρριπτε τὸ γνήσιον αὐτῆς (ap. Allat. in Gr. Orthod. T. 1.).

(³) Ἰδίως κατὰ τῶν Μαρκιωνιτῶν, τῶν Δοκητῶν, καὶ τῶν Μακεδονιανῶν. Ἰδ. Montfaucon. Diatriba de hæreticis, quos frequenter memorat Chrysostomus. T. 13. p. 190. Ὡσαύτως index rerum sub. voc. Marcion et cæt.

Πολλὰ ἀξιοσημείωτα διὰ τὴν δογματικὴν περιέχουσι α΄.] αἱ δύο ὁμιλίαι εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ, ἔνθα ἐλέγχονται αἱ βλασφημίαι τῶν Ἐθνικῶν καὶ τῶν Μανιχαίων ὡς πρὸς τὴν ἐνανθρώπησιν τοῦ Υἱοῦ τοῦ Θεοῦ· β΄.] αἱ τρεῖς ὁμιλίαι περὶ τοῦ διαβόλου, ἐν μὲν τῇ πρώτῃ τούτων δείκνυσιν, ὅτι ὁ Θεὸς διοικεῖ τὸν κόσμον, ἐν δὲ τῇ δευτέρᾳ διδάσκει, ὅτι ἡ ἡμετέρα ῥαθυμία βλάπτει ἡμᾶς, οὐχὶ δὲ ὁ διάβολος, καὶ ἐν τῇ τρίτῃ λύει τὸ ζήτημα : οὐκ ἂν ἦν κρεῖττον, εἰ κατεστρέφετο ὁ διάβολος; Ἐνταῦθα ἐπ' ἴσης δείκνυνται αἱ ἐνέργειαι τοῦ μυστηρίου τῆς Ἀπολυτρώσεως (¹)· γ΄.] τὴν σωτηριώδη σημασίαν τοῦ θανάτου τοῦ Χριστοῦ ἡρμήνευσεν ἐν ταῖς ὁμιλίαις εἰς τὸν Σταυρόν· δ΄.] σπουδαῖαί εἰσιν αἱ ὁμιλίαι εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, ἔνθα ὁμιλεῖ περὶ τοῦ μυστηρίου τῆς θείας Εὐχαριστίας, καὶ ἡ ἐπιστολὴ πρὸς Καισάριον μοναχὸν διὰ τὴν περὶ τοῦ αὐτοῦ μυστηρίου διδασκαλίαν· ε΄.] ἐν ταῖς δύο ὁμιλίαις εἰς τὴν ἁγίαν Πεντηκοστὴν δείκνυνται αἱ ἐνέργειαι τοῦ ἁγίου Πνεύματος, τοῦ Παρακλήτου, ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ. Ἐν δὲ τῇ ὁμιλίᾳ περὶ τοῦ ἁγίου Πνεύματος ὁ θεῖος Πατὴρ ὁμιλεῖ ἐπακριβῶς περὶ τῆς Θεότητος καὶ τοῦ προσώπου τοῦ ἁγίου Πνεύματος, τῶν δωρεῶν καὶ ἐνεργειῶν Αὐτοῦ, εἰς ἔλεγχον τῶν Μακεδονιανῶν καὶ ἐν μέρει τῶν Μοντανιστῶν καὶ τῶν Μανιχαίων (²). Πᾶν ὅ,τι ἄν τις προσεδόκα διὰ τὴν δογματικὴν παρὰ

(¹) Ἴδ. σελ. 371. σημ. 2.

(²) Τ. 3. σ. 797. Τὴν πρὸς Καισάριον ἐπ. (Τ. 3. σ. 742) ἔγραψεν ὁ θεῖος Πατὴρ κυρίως, ἵνα προφυλάξῃ τὸν φίλον Καισάριον ἀπὸ τῆς διδασκαλίας τοῦ Ἀπολλιναρίου. Ἡ ἐπιστολὴ αὕτη προὐκάλεσε πολλὰς φιλονεικίας καὶ συγγράμματα κυρίως διὰ τὴν περὶ Εὐχαριστίας ἀπόφανσιν αὐτῆς. Τοῖς Παπισταῖς οὐ λίαν ἀρέσκει ἡ ἀπόφανσις οὐχ ὁμοιάζουσα τῇ Transubstationi αὐτῶν, καὶ παντὶ σθένει ἐσπούδασαν ἀπορρίψαι τὸ γνήσιον αὐτῆς. Ὑπὲρ τῆς γνησιότητος ὁμιλοῦσιν: α΄.] ἐκτὸς τῶν χειρογράφων ὁ Λεόντιος, ὁ σύγχρονος τῷ ὁμολογ. Μαξίμῳ Ἀναστάσιος ὁ πρεσβύτερος, Ἰωάννης ὁ Δαμασκηνός, ὁ Π. Νικηφόρος, οἵτινες ἀναφέρουσιν ἐξ αὐτῆς χωρία, καλοῦντες αὐτὴν σύγγραμμα τοῦ ἁγ. Ἰωάννου, ἀρχιεπ. Κ]λεως (τὸ ἑλληνικὸν κείμενον τῶν λόγων τῶν τελευταίων ἐξεδόθη ὑπὸ Κανισίου Lect. ant. T. 1. p. 233, παρὰ τῷ Μοντφαουκονίῳ, οἱ δὲ λόγοι τοῦ Λεοντίου παρὰ Μαΐῳ nov. collect. vet. auct. tom. VI. Romæ, 1833. p.

τοιούτου ἐξόχου διδασκάλου, οἷος ὁ Χρυσόστομος, εὑρίσκει ἐν ἀφθονίᾳ ἐν ταῖς εἰς τὴν ἁγίαν Γραφὴν ἑρμηνείαις αὐτοῦ. Ἐνταῦθα ὁ ἅγιος Ἰωάννης ἑρμηνεύει ἄριστα τὰς δογματικὰς ῥήσεις τῆς ἁγίας Γραφῆς, καὶ ἐκτὸς τούτου οὐ σπανίως εἰσάγει καὶ ἐ-

---

130. 135)· β΄.] ἡ λέξις καὶ τὸ περιεχόμενον οὐδὲν λέγουσι κατὰ τῆς γνησιότητος. Ἡ λέξις ἐστὶν ἡ αὐτή, ἣ καὶ ἐν ταῖς ἄλλαις ἐπιστολαῖς, μὴ διαπρέπουσα ἐπὶ γλαφυρότητι. Ὁ Μοντφαουκόνιος εἰς μάτην ἀναφέρει πρὸς σύγκρισιν τὴν λέξιν τῶν πρὸς Ἀνομοίους λόγων. Ἐνταῦθα σύγκρισιν καὶ εἶναι ἀδύνατον. Ὁ Παπιστὴς Michæl Lequien (in dissertat. tertia in fronte Operum S. Joannis Damasceni) ὅλαις δυνάμεσι πειρᾶται ἀποδεῖξαι, ὅτι ὁ Χρυσόστομος οὐκ ἠδύνατο ὁμιλεῖν περὶ τῆς ἐνσαρκώσεως οὕτως, ὥσπερ ὁμιλεῖ ἡ πρὸς Καισάριον ἐπιστολή. Ἀλλὰ καὶ ὁ Μοντφαουκόνιος ὁμολογεῖ, ὅτι ὁ Lequien μάτην ἐκοπίασε. Πρὸς σύγκρισιν ἀναγνώτωσαν τὰ κατὰ τῶν Ἀπολλιναριστῶν γραφέντα ὑπὸ Γρηγορίου τοῦ Θεολόγου, Γρηγορίου τοῦ Νύσσης, καὶ Ἀθανασίου. γ΄.] περὶ τῆς ἁγίας Εὐχαριστίας ἐν τῇ ἐπιστολῇ ταύτῃ ἀναγινώσκομεν τάδε: «ὥσπερ γὰρ πρὶν ἢ ἁγιασθῇ ὁ ἄρτος, ἄρτον καλοῦμεν· τῆς δὲ θείας χάριτος ἁγιαζούσης αὐτόν, μεσιτεύοντος τοῦ ἱερέως, ἀπήλλακται μὲν τῆς ὀνομασίας τοῦ ἄρτου, γέγονε δὲ ἄξιος τῆς ὀνομασίας κυριακοῦ σώματος, καί τοι ἡ φύσις τοῦ ἄρτου ἐν αὐτῷ διέμεινε, καὶ οὐ δύο σώματα, ἀλλ' ἓν σῶμα τοῦ Υἱοῦ κηρύττομεν [ἡ περικοπὴ αὕτη εὕρηται μόνον ἐν τῇ λατιν. γλώσσῃ], οὕτω καὶ ἐνταῦθα τῆς θείας ἐνιδρυμένης τῷ σώματι φύσεως, ἕνα Υἱόν, ἓν πρόσωπον τὸ συναμφότερον ἀπετέλεσαν». Ὁ ἀπαθῶς κρίνων περὶ τῆς ἐννοίας τῶν λόγων τούτων, ὁμολογήσει, ὅτι οὗτοι εἰσὶν ὀλίγον εὐάρεστοι τῷ Καλβίνῳ καὶ αὐτῷ τῷ Λουθήρῳ, ὡς καὶ τῇ ῥωμαϊκῇ transubstationi. Κατὰ τῶν δύο πρώτων ὁμιλοῦσιν αἱ λέξεις «ἓν σῶμα τοῦ Υἱοῦ κηρύττομεν», κατὰ τῆς τελευταίας «ἡ φύσις τοῦ ἄρτου ἐν αὐτῷ διέμεινεν». Ἴδ. ἄλλας γνώμας τοῦ Ἱεράρχου περὶ τῆς ἁγ. Εὐχαριστίας ἐν τῇ κδ΄. πρὸς Κορινθ. Ά. ἐπιστ. §. 1, 2, 4. ἐν τῇ κζ΄. §. 2, 5. καὶ ἐν τῇ κή. §. 1, 2. Ἐν τῇ κδ΄. ὁμιλ. πρὸς τοῖς ἄλλοις λέγει: «Καθάπερ γὰρ τὸ σῶμα ἐκεῖνο ἥνωται τῷ Χριστῷ, οὕτω καὶ ἡμεῖς αὐτῷ διὰ τοῦ ἄρτου τούτου ἑνούμεθα». Τ. 10. σ. 213. ἴδ. καὶ ὁμιλ. πβ΄. εἰς Ματθ.—Ἐκ τῶν παπιστῶν ἐκτὸς τοῦ Βασναζίου ὑπερήσπισαν τὸ γνήσιον τῆς ἐπιστολῆς ὁ Ἀρδουῖνος (Joan. Chrys. ep. ad Cæsarium, gr. et lat. ed. et not . . . Harduini, op. sel. Anstel. 1709), καὶ ὁ Δουπῖνος (N. B. des auters Ecclesiast. T. 3. p. 37. S. T. 19. p. 106).—

λέγχους κατὰ διαφόρων πλανῶν. Ἰδοὺ π. χ. πῶς ἑρμηνεύει τὸ τοῦ Ἰωάννου: ἐκ τοῦ ἐμοῦ λήψεται (ις΄. 4), ἤτοι «ἐξ ὧν ἐγὼ οἶδα, ἐκ τῆς ἐμῆς γνώσεως. Μία γὰρ ἐμοῦ καὶ τοῦ Πνεύματος γνῶσις» . . . . «συνωδὰ τοῖς ἐμοῖς ἐρεῖ». Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν. Ἐπεὶ οὖν ἐμά ἐστιν ἐκεῖνα· ἐκεῖνος δὲ ἐκ τῶν τοῦ Πατρὸς ἐρεῖ, ἐκ τῶν ἐμῶν ἐρεῖ. . . . Ἐκ τοῦ ἐμοῦ λήψεται, ἤτοι ἐκ τοῦ χαρίσματος τοῦ εἰς τὴν σάρκα τὴν ἐμὴν ἐλθόντος, ἢ ὅτι ἀπὸ τῆς γνώσεως, ἧς καὶ ἐγὼ ἔχω, οὐχ ὡς δεόμενος, οὐδὲ ὡς παρ' ἑτέρου μαθών, ἀλλ' ὡς μιᾶς οὔσης καὶ τῆς αὐτῆς».—

§. 177. IV. Μέριμνα τοῦ Ἱεράρχου περὶ τῆς διατάξεως τῆς ἐξωτερικῆς λατρείας. Λειτουργία αὐτοῦ.

IV. Ἐκεῖνος, ὅστις τοσοῦτον ἐμερίμνα περὶ τῆς σωτηρίας τοῦ πλησίον καὶ οὕτω βαθέως ἐνόει τὸν ἄνθρωπον, οὐκ ἠδύνατο μὴ μεριμνῆσαι περὶ τῆς διατάξεως τῆς ἐξωτερικῆς λατρείας τῆς οὕτω στενῶς ἡνωμένης τῇ οἰκοδομῇ τοῦ ἐσωτερικοῦ ἀνθρώπου.

Πρὸς τοῦτο ἐδόθησαν καὶ ἀφορμαί. Ἐπεὶ οἱ Ἀρειανοὶ διὰ διαταγμάτων Θεοδοσίου τοῦ Μεγάλου ἀφηρέθησαν τῶν ἐν τῇ Κωνσταντινουπόλει ἐκκλησιῶν (1), ἤρξαντο συλλέγεσθαι διὰ τὴν νυκτερινὴν λατρείαν ἐν ταῖς δημοσίαις στοαῖς. Ἐνταῦθα εἰς δύο χοροὺς μεριζόμενοι, ᾖδον ᾠδὰς ἀντιφώνους, ἀκροτελεύτια συντιθέντες, πρὸς τὴν αὐτῶν δόξαν πεποιημένα. Ὁ ναὸς αὐτῶν ἔκειτο ἔξω τῆς πόλεως. Ὑπὸ δὲ ὄρθρον διὰ μέσου τῆς πόλεως ἐξῄεσαν τῶν πυλῶν, ᾖδον τὰς ᾠδὰς αὐτῶν, προστιθέντες ἐν τοῖς ἐφυμνίοις βλασφημίας κατὰ τῆς ὀρθοδοξίας καὶ ψάλλοντες: «Ποῦ εἰσιν οἱ λέγοντες τὰ τρία μίαν δύναμιν;» Ἐκτὸς τοῦ ὅτι ἡ αὐθάδεια τῶν Ἀρειανῶν αὐτὴ καθ' ἑαυτὴν προσέβαλλε τὴν Ὀρθοδοξίαν, ἡ μεγαλοπρέπεια τῶν πομπῶν αὐτῶν ἠδύνατο ἔχειν ὀλεθρίαν ἐπιρροὴν ἐπὶ τῶν ἁπλουστέρων. Ὁ ἅγ. Ἰωάννης ἠδύνατο αἰτήσασθαι τὸν Αὐτοκράτορα καταστεῖλαι τὴν αὐθάδειαν ταύτην, ἅτε δὴ ἀπολαύων τότε ἁπάσης τῆς εὐνοίας τῆς Αὐλῆς·

(1) Ἴδ. περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Ναζιανζηνοῦ, τοῦ Ἀμφιλοχίου, καὶ τοῦ Ἀμβροσίου.—

ἀλλ' ὁ θεῖος Πατὴρ ἀείποτε ἐχρῆτο τῇ φρονίμῳ ἀγάπῃ. Ἀντὶ τοῦ καταστεῖλαι διὰ πολιτικοῦ νόμου τὴν αὐθαιρεσίαν, ᾔτησε μόνον, ἵνα καὶ οἱ ὀρθόδοξοι συνερχόμενοι νύκτωρ, ᾄδωσι καὶ αὐτοὶ κατὰ χωροὺς ἁρμονικῶς καὶ τελῶσι τὰς πομπὰς εὐκόσμως. Ἐξελέξατο τοὺς ἀρίςους ψάλτας, καὶ συνέταξεν ὑμνῳδίας μετὰ τῆς ὁμολογίας τῆς ἁγίας Τριάδος. Πρὸς τοῖς ἄλλοις διέταξεν ᾄδειν τὴν ἀρχαίαν δοξολογίαν: «Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι». Ἡ Αὐτοκράτειρα ἔδωκε τὸν ἀρχιμουσικὸν αὐτῆς, ὅστις, ὡς λέγουσιν ὁ Σωζόμενος καὶ ὁ Νικηφόρος, παρεσκεύαζε καὶ τοὺς ὕμνους, κατὰ δὲ τὸν Σωκράτην, συνεκρότει τοὺς ὑμνῳδούς. Τῇ ἐπινοίᾳ τοῦ σοφοῦ Ποιμένος κατεσκευάσθησαν διὰ τὰς πομπὰς ἀργυροῖ σταυροί, φέροντες φῶτα ἐκ κηρίνων λαμπάδων. Ἐν βραχεῖ χρόνῳ ὑπερέβαλον οἱ ὀρθόδοξοι τοὺς Ἀρειανοὺς τῇ τέχνῃ τῆς ψαλμῳδίας καὶ τῇ μεγαλοπρεπείᾳ τῶν πομπῶν· μετὰ τοῦτο οὐδεὶς προσεῖχε τῇ τῶν Ἀρειανῶν εὐκοσμίᾳ. Οἱ Ἀρειανοί, ζηλοτυπίᾳ καταληφθέντες ἐπὶ τῇ προόδῳ τῆς Ὀρθοδοξίας, ὥρμησαν ἐν μιᾷ τῶν νυκτῶν κατὰ τῶν ὀρθοδόξων, ὧν ἐφόνευσάν τινας. Κινηθεὶς δὲ διὰ τοῦτο πρὸς ὀργὴν ὁ βασιλεύς, διεκώλυσε τοὺς Ἀρειανοὺς ᾄδειν δημοσίως τὰς ὑμνολογίας αὐτῶν· οἱ δ' ὀρθόδοξοι οὐ διέλιπον τελοῦντες τὴν ἱερουργίαν, ὡς διετάξατο ὁ Ἱεράρχης(¹). Τοιούτῳ τρόπῳ ἐγένετο ἡ ἀρχὴ καὶ τῶν νυκτερινῶν ὑμνολογιῶν, καὶ τῶν πομπῶν, καὶ ἡ τῶν ἐκκλησιαστικῶν τροπαρίων. Ἕτερον πολλῷ σπουδαιότερον ἔργον τοῦ Χρυσοστόμου ἦν ἡ διάταξις τῆς Λειτουργίας. Καὶ ἐνταῦθα κατεδείχθη τὸ αὐτὸ πνεῦμα τοῦ Χρυσοστόμου, ἡ συγκαταβατικὴ δηλονότι καὶ συνετὴ ἀγάπη αὐτοῦ πρὸς τὸν πλησίον(²). Ὁ ἅγιος Πρόκλος, ὁ μαθητὴς τοῦ Χρυσοστόμου, καὶ ἔπειτα ποιμὴν τῆς αὐτῆς Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, γράφει περὶ ταύτης τῆς διατάξεως τοῦ Χρυσοστόμου τάδε: «Διὸ καὶ ὁ θεῖος Βασίλειος θεραπευτικῇ τινι μεθόδῳ χρώμενος, ἐπιτομώτερον ταύτην ἀπαγγέλλει. Μετ' οὐ πολὺ δὲ πάλιν ὁ ἡμέτερος Πα-

---

(¹) Σωκρ. ς'. 7, 8. Σωζόμεν. η'. 8.—

(²) Τὸ γνήσιον τῆς τοῦ Χρυσοστόμου Λειτουργίας καθ' ἓν ἕκαστον ἐξητάσθη ἐν τῷ ἐμῷ ἄρθρῳ: Ἰωάννης ὁ Χρυσόστομος ὡς διοργανωτὴς τῆς Λειτουργίας. Ἴδ. χριστ. Ἀνάγν. 1850.

τήρ, ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης, τῆς τῶν προβάτων σωτηρίας, οἷα ποιμήν, προθύμως κηδόμενος, εἴς τε τὴν τῆς ἀνθρωπίνης φύσεως ῥαθυμίαν ἐφορῶν, πρόρριζον πᾶσαν σατανικὴν πρόφασιν ἠβουλήθη ἀποσπάσασθαι· διὸ καὶ τὰ πολλὰ ἐπέτεμε, καὶ συντομώτερον τελεῖσθαι διετάξατο, ἵνα μὴ κατὰ μικρὸν οἱ ἄνθρωποι ἐλευθερίαν τινὰ καὶ σχολὴν τὰ μάλιστα φιλοῦντες, τοῖς τοῦ ἀντιπάλου διαλογισμοῖς ἐξαπατώμενοι, τῆς τοιαύτης ἀποστολικῆς καὶ θεϊκῆς παραδόσεως ἀφιστῶνται, ὡς πολλοὶ πολλάκις πολλαχόσε τοῦτο διαπραττόμενοι καὶ μέχρι τῆς σήμερον ἐφωράθησαν»(1). Οἱ λόγοι οὗτοι τοῦ μαθητοῦ τοῦ Χρυσοστόμου καὶ ποιμένος τῆς Κωνσταν]πόλεώς εἰσι τὰ μάλιστα ἀξιόπιστοι. Ἐκτὸς δὲ τούτου ἡ ἐνδελεχὴς παράδοσις τῆς ἑλληνικῆς Ἐκκλησίας (2), τῆς συριακῆς (3), καὶ τῆς σλαβικῆς (4), τὰ ἀρχαῖα ἀπόγραφα τῆς Λειτουργίας, ἑλληνικά, συριακά (5) καὶ σλαβικά (6), ἀναμφισβητήτως βεβαιοῦσι καὶ τὸ ἀξιόπιστον τῆς μαρτυρίας τοῦ Πρόκλου, καὶ ὅτι ἡ νῦν γνωστὴ Λειτουργία τοῦ Χρυσοστόμου ἀνήκει εἰς τὸν μέγαν τοῦτον Ἱεράρχην. Εἰ

(1) Λόγος περὶ παραδόσεως τῆς θείας λειτουργίας.

(2) Ἴδ. Allat. de consens. Eccles. p. 1, 148.

(3) Περὶ τῆς συριακ. λειτουργ. τοῦ Χρυσοστόμου ἴδ. Assemani B. O. 1, 615. Renauditi orient. liturg. T. 2. p. 242, 254, 260.

(4) Vita S. Ludmillæ pag. 36. ed. 1767. Κύριλλος καὶ Μεθόδιος, ἐν Μόσχᾳ, 1843.

(5) Τὰ ἀρχαῖα ἑλληνικὰ ἀπόγραφα ἐν ταῖς βιβλιοθ. τῶν Μεδιολάνων, τοῦ Λουγδούνου, καὶ τῶν Παρισίων. Ἴδ. Montfaucon. Bibl. p. 526. Catalog. M. B. Bibliothecæ Lipsiensis; Grimmæ, 1837. Γαλλανοῦ ἱστορ. τῆς ἑβραϊκῆς φιλολογίας 2, 35. Τὸ ἀρχαιότατον, τὸ ἐν τῇ Βαρβερινῇ Βιβλιοθήκῃ ἐτυπώθη ὑπὸ Γοάρου ἐν τῷ ἑλλην. Εὐχολογίῳ. Ὁ Λέων Τοῦσκος μετέφρασε τῷ 1151 τὴν Λειτουργίαν τοῦ Χρυσοστόμου ἐκ τῆς ἑλλην. γλώσσης εἰς τὴν λατινικήν. Ἡ μετάφρασις αὐτοῦ ἐξεδόθη ὑπὸ Ἰωάννου Ὀφμεϊστέρου τῷ 1540, καὶ ὑπὸ Κλαυδίου Σάγκτες, Antwerp. 1560, 1562. 8°. Περὶ τῶν ἄλλων ἑλληνικῶν χειρογράφων ἴδ. Allat. de consensu p. 1168. Fabric. Biblioth. Gr. 8, 363.—

(6) Τὸ ἀρχαιότατον σλαβικὸν ἀπόγραφον τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ἐστὶ τὸ τοῦ ὁσίου Ἀντωνίου τοῦ Ρωμαίου, ἔπειτα τὸ τοῦ Βαλαὰμ χοτινσκίου· τὸ τοῦ μ. Κυπριανοῦ χειρόγρ. τῆς ἐν Μόσχᾳ συνοδ. βιβλιοθήκης, N° 605, 604, 601.—

ἐπέτρεπεν ὁ τόπος, ἐκ τῶν ὁμιλιῶν αὐτοῦ ἦν ἂν δυνατὸν δεῖξαι, ὅτι ἡ νῦν γνωστὴ Λειτουργία τοῦ Χρυσοστόμου ἀνήκει εἰς τὸν χρόνον αὐτοῦ. Ἐν ταῖς ὁμιλίαις αὐτοῦ ὁρῶμεν τὴν αὐτὴν διάταξιν, τὰς αὐτὰς ἐκφωνήσεις, ἃς ἀναγινώσκομεν ἐν τῇ γνωστῇ λειτουργίᾳ αὐτοῦ (1). Ἐν τούτοις οὐ λέγομεν, ὅτι ἅπαντα τὰ μέρη τῆς νῦν γνωστῆς λειτουργίας ἀνήκουσιν εἰς τὸν ἅγιον Χρυσόστομον. Καὶ αἱ ὁμιλίαι αὐτοῦ καὶ αἱ ἱστορικαὶ μαρτυρίαι λέγουσι πάντη ἕτερον. Ἐκ τούτων καὶ ἐκείνων καταφαίνεται, ὅτι ᾄσματά τινα προσετέθησαν τῇ λειτουργίᾳ μετὰ τὸν μέγαν Διδάσκαλον· ἀλλ᾿ αἱ μεταβολαὶ αὗται οὐκ ἠλλοίωσαν τὴν οὐσιώδη σύστασιν τῆς λειτουργίας, ἀναφέρονται δὲ τὸ μὲν εἰς τὴν λειτουργίαν τῶν Κατηχουμένων, τὸ δὲ εἰς ἐκεῖνο τὸ μέρος, ὅπερ ἕπεται τῇ τελέσει τῆς Εὐχαριστίας (2).

Λίαν συνεχῶς προὔτρεπεν ὁ θεῖος Πατὴρ τοὺς ἀκροατὰς αὐτοῦ φοιτᾶν εἰς τὴν λειτουργίαν, καὶ συνεχῶς ἡρμήνευε τὴν σημασίαν τῶν χριστιανικῶν ἑορτῶν καὶ τῶν τελετουργιῶν (3). Ἠβούλετο εἶναι τὴν χριστιανικὴν λατρείαν κατὰ πάντα ἔλλογον. Διὰ

(1) Ὁ Βίγγαμος καὶ ὁ Μοντφαουκόνιος ἐποιήσαντο ἐκλογὰς ἐκ τῶν ὁμιλιῶν τοῦ Χρυσοστόμου, προτιθέμενοι παραστῆσαι τὴν λειτουργίαν τοῦ χρόνου αὐτοῦ. Ἀλλ᾿ αἱ ἐκλογαὶ αὗται πόρρω ἀφίστανται τῶν σκοπῶν αὐτῶν· τὸ μὲν οὐκ εἰσι πλήρεις, τὸ δὲ οὐ διδοῦσι τοῖς λόγοις τοῦ Χρυσοστόμου τὴν ἀνήκουσαν αὐτοῖς ἔννοιαν, ἢ μεταβάλλουσι τὴν ἀληθῆ τῶν μερῶν τάξιν. Οὔτε ὁ διαμαρτυρόμενος, οὔτε ὁ παπιστὴς δύνανται ἐννοῆσαι πᾶν τὸ ἐν τῷ Χρυσοστόμῳ, ὡς ἠδύνατο ἐννοῆσαι ὁ ὀρθόδοξος, οὗ πρὸ τῶν ὀφθαλμῶν τελεῖται ἡ λειτουργία τοῦ χρόνου τοῦ Χρυσοστόμου. Πάνυ ὀρθῶς ἐσημείωσεν ὁ Augusti, ὅτι ἡ ἑλληνικὴ λειτουργία οὔπω ἔσχε Μοντφαουκονίους καὶ Μουρατορίους.

(2) Μετὰ τὸν ἅγιον Χρυσόστομον προσετέθησαν τῇ λειτουργίᾳ αὐτοῦ: α΄.] ὁ ὕμνος: ὁ μονογενὴς Υἱός· β΄.] ὁ ὕμνος: Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες· γ΄.] τὰ καθ᾿ ἡμέραν τροπάρια· δ΄.] τὸ σύμβολον τῆς πίστεως· ε΄.] ὁ ὕμνος εἰς τὴν Θεοτόκον: Ἄξιόν ἐστιν ὡς ἀληθῶς· ς΄.] ὁ ὕμνος: πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, κ.τ.λ.

(3) Ἴδ. πρὸς τοῖς ἄλλοις τὸν λόγον εἰς τὴν βάπτισιν τοῦ Χριστοῦ, ἔνθα καθάπτεται τῶν σπανίως φοιτώντων εἰς τὸν ναὸν τοῦ Θεοῦ.

τοῦτο οὐδενὸς ἄλλου Πατρὸς τὰ συγγράμματα περιέχουσι τοσαύτας μαρτυρίας περὶ τῆς καταστάσεως καὶ τῆς σημασίας τῆς ἀρχαίας τελετουργίας, ὅσας τὰ τοῦ Χρυσοστόμου. Ταῦτά εἰσιν ἀνεξάντλητος πηγὴ μαρτυριῶν περὶ τῆς τελετουργίας τῆς ἀρχαίας Ἐκκλησίας, μαρτυριῶν πολυτιμοτάτων τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ (1).

§. 178. Θεότιμος ὁ Σκύθης.

Θεότιμος, ὁ τῆς ἐν τῇ μικρᾷ Σκυθίᾳ πόλεως Τόμων (2) ἐπίσκοπος, εἷς τῶν ἐνθέρμων κηρύκων τῆς πίστεως ἐν τοῖς Οὐννο—σλα-

(1) Μόναι αἱ ἐπιγραφαὶ τῶν ὁμιλιῶν αὐτοῦ ἤδη παρέχουσι πλοῦτον μαρτυριῶν περὶ τῆς ἀρχαίας τελετουργίας. Ὁ ἀκριβὴς ὁρισμὸς τοῦ τόπου καὶ τοῦ χρόνου τῶν ὁμιλιῶν ἐστιν ἰδίως σπουδαῖος τῷ ἀρχαιολόγῳ. Ὁ Βίγγαμος, ὁ Augusti καὶ ὁ Βίντεριμ ἐπλούτισαν τὰ ἀρχαιολογικὰ αὐτῶν συγγράμματα ταῖς ἀπὸ τοῦ Χρυσοστόμου ληφθείσαις μαρτυρίαις. Ἀλλὰ πολλὰ μένουσιν ἔτι ἀνέπαφα.

(2) Οἱ Τόμοι ἐστὶν ὁ τόπος τῆς ἐξορίας τοῦ Ὀβιδίου, καὶ μητρόπολις τῆς μικρᾶς Σκυθίας. Κατὰ τὴν περιγραφὴν τοῦ Πλινίου, ἡ χώρα, ἧς ἦρχον «οἱ Σκύθαι ἀροτῆρες», ἐξετείνετο ἀπὸ τῶν στομίων τοῦ Δουνάβεως εἰς τὴν Θράκην, καί, διαβρεχομένη ὑπὸ τοῦ Τύρα, περιεῖχεν «ὡραιοτάτας πόλεις—τὴν Ἰστρόπολιν, τοὺς Τόμους, τὴν Καλλάτιδα, τὴν Διονύσου πόλιν, ἣ πρότερον ἐκαλεῖτο Κρουνοί». (Lib. IV. c. 2.). Ὁ Στράβων (ζ'. 6) καὶ ὁ Πτολεμαῖος (γ'. 10), τιθεῖσιν ὡσαύτως ἐνταῦθα τὴν Ὀδησσόν, τὴν Ἀπολλωνίαν, καὶ τὴν Μεσημβρίαν (μέχρι τοῦ νῦν γνωστὴν ὑπὸ τὸ ὄνομα τοῦτο). Ἡ ἕδρα τοῦ Χριστιανοῦ ἐπισκόπου ἦν μόνον ἐν Τόμοις. Ἐπὶ τοῦ Διοκλητιανοῦ ἐπίσκοπος τῆς Σκυθίας ἦν ὁ Εὐαγγελικός (Μην. ζ'. Μαρτ.)· Ἐπὶ τοῦ Λικινίου ἐτελεύτησεν ὁ Τόμων ἐπίσκοπος Θεογένης (ἐν τοῖς μαρτυρολ. τοῦ Ρεβανοῦ καὶ τοῦ Βέδα καλεῖται Τίτος). Ἐν τῇ Α'. Οἰκουμ. Συνόδῳ τῆς Νικαίας παρεγένετο ὁ ἐπίσκοπος Τόμων, ἀλλ' ἄγνωστον τὸ ὄνομα αὐτοῦ (Εὐσέβ. ἐν β. Κωνσταντίνου, γ'. 7). Πρὸς τὸν ἀρειανὸν Οὐάλεντα ἀνδρείως μάλα ἐπαρρησιάσατο ὁ Τόμων ἐπίσκοπος Βρεττανείων περὶ τοῦ δόγματος τῶν ἐν Νικαίᾳ συνελθόντων (Σωζόμ. ς'. 21. Θεοδ. δ'. 35). Ἐν τῇ Β'. Οἰκουμεν. Συνόδῳ παρῆν ὁ Τόμων ἐπίσκοπος Τερέντιος (Σωζόμ. ζ'. 9. Νικηφ. ιβ'. 13.). Διάδοχος τούτου ἦν ὁ Θεότιμος, ὃς τῷ 392 ἦν ἤδη γνωστὸς τῷ Ἱερωνύμῳ καὶ ὡς ἐπίσκοπος καὶ ὡς συγγραφεύς (De scriptor. eccles. CXXXI.).—

βικοῖς πλήθεσι, καὶ πεφωτισμένος συναθλητὴς τοῦ Χρυσοστόμου, ἤκμασε τῷ 392. Οὐκ ὀλίγους πόνους ὤφειλεν ὑποστῆναι καὶ ὑπὲρ τῆς ἑαυτοῦ λίαν ἐκτεταμένης ἐπαρχίας, ἐκτεινομένης μεταξὺ τοῦ Εὐξείνου καὶ τοῦ Δουνάβεως ἐν Θράκῃ (ἐν τῇ νῦν βορειο—ανατολικῇ Βουλγαρίᾳ). Ἐπὶ τῆς ἑτέρας (τῆς ἀριστερᾶς) ὄχθης τοῦ Δουνάβεως περιεπλανῶντο τότε οἱ Οὖννοι μετὰ τῶν ὑποτεταγμένων αὐτοῖς σλαβικῶν φύλων (¹). Ὁ Θεότιμος ἐξήπλου τὴν δύναμιν τῆς πίστεως καὶ τῆς ἀγάπης καὶ ἐπὶ τῶν ἀγρίων λαῶν· ἐποιεῖτο πορείας εἰς τὴν ὑπ' αὐτῶν κατειλημμένην χώραν, καὶ διὰ τῆς προσευχῆς περιεγίγνετο τῆς ἀγριότητος αὐτῶν· τὴν πρὸς τὰς ἁρπαγὰς τάσιν αὐτῶν ἐσπούδαζε καταπραΰνειν τῇ ἀγαθοποιῷ ἀγάπῃ· δι' ἑστιάσεων καὶ δώρων ἐφιλοφρονεῖτο αὐτά. Ἡ δύναμις τῶν ὑπ' αὐτοῦ ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ τελουμένων θαυμάτων τοσοῦτον ἐξέπληττε τὰ βάρβαρα φῦλα, ὥστε ὠνόμαζον αὐτὸν Θεὸν Ρωμαῖον (²). Ὅτε (τῷ 399) ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἐξήταζεν ἐν συνόδῳ τὴν ὑπόθεσιν τοῦ ἐπισκ. Ἐφέσου Ἀντωνίνου, παρῆν ἐν αὐτῇ μετά τινων καὶ ὁ Θεότιμος «ἀπὸ Σκυθίας» (³). Τῷ 402, ὅτε ὁ Ἐπιφάνιος ᾔτει ἐπιμόνως παρὰ τοῦ Χρυσοστόμου καὶ ἄλλων ἐπιψηφίσασθαι τὰ κατὰ Ὠριγένους καὶ τῶν συγγραμμάτων αὐτοῦ ψηφισθέντα, ὁ Θεότιμος ἀπεκρίνατο τοιάδε: «Ἐγώ, ἔφη, ὦ Ἐπιφάνιε, οὔτε τὸν πάλαι καλῶς κεκοιμημένον καθυβρίζειν αἱροῦμαι· οὔτε βλάσφημον ἐπιχειρεῖν πρᾶγμα τολμῶ, ἐκβάλλων ἃ οἱ πρὸ ἡμῶν οὐκ ἠθέτησαν». Ἀναγνοὺς ἔπειτα ἐκ τῶν συγγραμμάτων τοῦ Ὠριγένους χωρία τινά, καὶ δείξας, ὅτι εἰσὶ σύμφωνα τῇ ἀληθείᾳ καὶ ὠφέλιμα τῇ Ἐκκλησίᾳ, προσέθηκεν: «Ἄτοπον ὑπομένουσιν οἱ ταῦτα διαβάλλοντες. Κινδύνουσι γὰρ ταῦτα ὑβρίζειν, περὶ ὧν οἱ λόγοι» (⁴). Ὁ Σωκράτης καὶ ὁ Σωζόμενος γράφουσιν, ὅτι ὁ Θεότιμος διῆγεν αὐστηρὸν βίον, ἐνεδύετο πενιχρὰν ἐσθῆτα, ἥπτετο δὲ τροφῆς μόνον ὅτε ἐβίαζεν αὐτὸν πρὸς τοῦτο ἡ πεῖνα. Ὁ Σωζόμενος λέγει: «Ἐν

(¹) Ἐπὶ τοῦ ἀριστεροῦ μέρους τοῦ Δουνάβεως ἀπέναντι τῆς μικρᾶς Σκυθίας ἦν ἡ μεγάλη Σκυθία, ἔνθα, κατὰ τὸν χρονογράφον Νέστορα, ἔζων τὰ πολυάριθμα σλαβικὰ φῦλα τῶν Τιβερκίων καὶ τῶν Οὐλικίων.

(²) Σωζόμ. ζ'. 26.

(³) Παλλάδ. ἐν β. Χρυσοστ. σελ. 123.

(⁴) Σωκρ. ς'. 12. Σωζόμ. ή. 14.

τούτῳ δὲ (τῷ χρόνῳ, καθ' ὃν ὁ Χρυσόστομος ἦν ἐπὶ τοῦ ἐπισκοπικοῦ θρόνου) Τόμεως καὶ τῆς ἄλλης Σκυθίας τὴν Ἐκκλησίαν ἐπετρόπευε Θεότιμος Σκύθης, ἀνὴρ ἐν φιλοσοφίᾳ τραφείς»· ἀλλὰ πιθανόν, ὅτι μετὰ τὸν Χρυσόστομον οὐκ ἐπὶ πολὺν χρόνον ἦν διδάσκαλος τῶν περιπλανωμένων φύλων (1).

Κατὰ τοὺς ἱστορικοὺς ὁ Θεότιμος ἦν τόν τε βίον καὶ τὴν παιδείαν χριστιανὸς φιλόσοφος. Ὁ μακάριος Ἱερώνυμος ἔγραφε τῷ 392: «Θεότιμος ὁ ἐπίσκοπος Τόμων τῆς Σκυθίας, συνέγραψεν ἐν διαλόγοις, κατὰ τὰ πρότυπα τῆς ἀρχαίας εὐγλωττίας, βραχείας καὶ πάνυ ὡραίας πραγματείας, καί, ὡς ἀκούω, γράφει καὶ ἄλλα συγγράμματα» (2).

Ὁ Λεόντιος, ἀκμάσας οὐ πολὺν χρόνον μετὰ τὸν ἅγιον Θεότιμον, ἐξελέξατο σύντομα χωρία ἐκ δύο συγγραμμάτων τοῦ Θεοτίμου—ἐκ τοῦ συγγράμματος δηλονότι περὶ τῆς διδασκαλίας τοῦ Σωτῆρος, καὶ ἐκ τοῦ κατὰ εἰδώλων (3). Ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς κατεχώρησεν ἐν τοῖς Παραλλήλοις αὐτοῦ χωρία τινὰ ἐκ τοῦ τελευταίου συγγράμματος καὶ ἐκ τριῶν ἄλλων συγγραμμάτων τοῦ Θεοτίμου: εἰς τὴν Γένεσιν, ἐκ τῆς ἑρμηνείας εἰς τό: «ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον,» καὶ ἐκ τοῦ περὶ νηστείας λόγου (4). Κατὰ δυστυχίαν οὐδὲ ἓν τῶν συγγραμμάτων τοῦ μακαρίου Θεοτίμου ἀφίκετο μέχρις ἡμῶν ἀκέραιον.

§. 179. Ἀστέριος ἐπίσκοπος Ἀμασείας. Βίος αὐτοῦ.

Ἀστέριος, Ἀμασείας (τῆς ἐν Πόντῳ) ἐπίσκοπος (τῷ 401), ἀνετράφη ἐν Ἀντιοχείᾳ (5). Νέος τις, ἐξόχοις χαρίσμασι πεπροικισμέ-

(1) Ὁ διάδοχος τοῦ Θεοτίμου Τιμόθεος ὑπέγραψε τὰ πρακτικὰ τῆς κατὰ τὸ 431 συγκροτηθείσης τρίτης Οἰκουμενικῆς Συνόδου. Ἡ μνήμη τοῦ ἁγίου Θεοτίμου τελεῖται ἐν τῇ ῥωμαϊκῇ Ἐκκλησίᾳ τῇ κ΄. Ἀπριλίου. Act. Sanct. ad 20 April.—

(2) De vir. illustr. c. CXXXI.

(3) Τὰ χωρία ταῦτα ἐξεδόθ. ὑπὸ τοῦ Μαΐου in collect. vet. auct. VII., 99, 107.—

(4) Παράλληλ. σελ. 640, 675, 694, 785.

(5) Ἦν εἷς τῶν διαδόχων Γρηγορίου τοῦ θαυματουργοῦ, καὶ ἰδίως μετὰ τὸν Εὐλάλιον (Σωζόμ. ζ΄. 2).

νος, τὸ γένος Σκύθης, ἐξαγορασθεὶς ὑπὸ πολίτου Ἀντιοχείας καὶ γραμματικῆς παίδων διδασκάλου, τοσοῦτον ἐπέδωκε τοῖς τε ἐλευθερίοις μαθήμασι καὶ τῇ νομικῇ, ὥστε ἐγένετο λαμπρὸς καὶ περιβόητος καὶ παρ' Ἕλλησι καὶ παρὰ Ρωμαίοις. Τοῦ ἀργυρωνήτου τούτου Σκύθου ἐγένετο μαθητὴς ὁ Ἀστέριος, ὡς αὐτὸς λέγει (1)· εἶτα δὲ μετήρχετο τὸ ἐπάγγελμα τοῦ Συνηγόρου (2). Ἐπὶ τὸν θρόνον τῆς Ἀμασείας ἀνέβη ὁ Ἀστέριος μετὰ τὸν Εὐλάλιον, κλεϊσθέντα τοῖς τοῦ ὁμολογητοῦ ἀγῶσιν ἐπὶ τοῦ Οὐάλεντος, καὶ μετὰ ζωηρότητος χριστιανοῦ ῥήτορος ἐπηνώρθωσε τὰ ὑπὸ τῶν Ἀρειανῶν διαφθαρέντα ἤθη (3). Ἔν τινι τῶν ὁμιλιῶν αὐτοῦ, ἐλέγχων τὴν πλεονεξίαν, παρίστησι τοῖς ἀκροαταῖς, ὅσον ἐπὶ τοῦ Ἰουλιανοῦ τὸ πάθος τοῦ γενέσθαι κυρίους τῶν ἀλλοτρίων, παρέσυρέ τινας τοσοῦτον, ὥστε «ὥσπερ ἱμάτιον ταχέως τὴν θρησκείαν μετημφιέσαντο».

Οὐ δεῖ συγχέειν τὸν Ἀμασείας Ἀστέριον α.] Ἀστερίῳ τῷ τῆς Ἀρείου λύσσης ὑπασπιστῇ (Φώτ. Ἀμφιλόχ. τθ'.), ἐπισκόπῳ Κύρου, ὃς τῇ προσευχῇ τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ Ἀββᾶ θεήλατον ἐδέξατο πληγὴν «καὶ μίαν μόνην ἀρρωστήσας ἡμέραν, ἔξω τοῦ καταλόγου τῶν ζώντων ἐγένετο» (Θεοδώρ. Φιλόθ. ἱστορ. β'.)· β'.] τῷ μαθητῇ τοῦ Ἀββᾶ Ἰουλιανοῦ Ἀστερίῳ, ὃς περὶ τὸ 370 ἦν αὐτὸς ἀββᾶς τῆς μονῆς, περὶ οὗ ὡσαύτως γράφει ὁ Θεοδώρητος (αὐτ. κεφ. β'.)· γ'.] οὐ δεῖ ἐπ' ἴσης συγχέειν αὐτὸν καὶ Ἀστερίῳ τῷ Καππαδόκῃ, ὃς ἐκ σοφιστοῦ ἐπεστράφη εἰς τὸν χριστιανισμόν, ἀλλ' ἐπὶ τοῦ Διοκλητιανοῦ (τῷ 304) ἐγένετο ἐθνικός, εἶτα δὲ ἐπιστραφεὶς ὑπὸ τοῦ Μ. Λουκιανοῦ, μάτην ἐπεθύμησε γενέσθαι ἐπίσκοπος (Φιλοστόργ. β'. 15. Σωκρ. ά. 36.)· ἦν διάπυρος ὑπέρμαχος τῆς ἀρειανῆς αἱρέσεως, ὑπὲρ ἧς συνέγραψε σύγγραμμα· ἡρμήνευσε τοὺς ψαλμούς, τὸ Εὐαγγέλιον, καὶ τὴν πρὸς Ρωμ. ἐπιστολήν (Hieron. de script. eccles. C. 94, 96. Σωζόμ. β'. 33). δ'.] τέλος γνωστός ἐστιν Ἀστέριος ὁ Σκυθοπολίτης, ὃν ὁ Ἱερώνυμος τάσσει ἐν τοῖς ἑρμηνευταῖς τῶν ψαλμῶν (ep. 83 ad Magnum. ep. 74 ad Augustin.).—

(1) Ἐν τῷ λόγῳ εἰς τὸν δοῦλον τοῦ ἑκατοντάρχου, ὃν ὁ Κύριος ἐθεράπευσε. Τὴν ὑπόθεσιν τοῦ λόγου τούτου διέσωσεν ὁ Π. Φώτιος (ἀνάγν. σοα'.).—

(2) Ἐν τῇ ὁμιλ. εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον λέγει περὶ ἑαυτοῦ, ὅτι «παρέβαλεν ἀρχοντικῷ κριτηρίῳ».

(3) Σωζόμ. ζ'. 2. Coteler. monum. 2, 516.—

Παραδείγματα προστίθησι, «καὶ ὁ καθ᾽ἡμᾶς βίος τῇ πείρᾳ παρέδωκεν»(1). Ἐν τῷ κατηγορικῷ λόγῳ τῆς ἑορτῆς τῶν Καλανδῶν διαγράφων ὁ ποιμὴν τὸ μάταιον τῶν ἀνθρωπίνων ἐπινοιῶν, ἔφερεν ὡς παράδειγμα, καθάπερ καὶ ὁ Χρυσόστομος, τὴν αἰφνίδιον πτῶσιν τοῦ εὐνούχου Εὐτροπίου (συμβᾶσαν τῷ 399): «Ὁ δέ, τοῦ παρελθόντος ἐνιαυτοῦ πῶς ἐφρόντισε μείζονα τῶν γιγάντων, γυναιξὶν ὢν καὶ ἀνδράσιν ἀμφισβητήσιμος; Ῥάβδους κυρίων φεύγων, ῥάβδων ὑπατικῶν ἐπεθύμησεν· ἐκτήσατο γῆν, ὅσην οὐδὲ εἰπεῖν εὔκολον· ἐτάφη δὲ ἐν τοσαύτῃ, ὅσης ὁ ἐλεήσας μετέδωκεν»(2). Ὁ λόγος τοίνυν οὗτος ἐξεφωνήθη τῷ 400ῳ ἔτει. Ὁ ποιμὴν τῆς Ἀμασείας, ὁ κῆρυξ τῆς ὀρθοδοξίας, ὁ φιλόπονος τῆς ἀρετῆς διδάσκαλος, τὸ ἁπάσης «θεαρέστου πολιτείας καταγώγιον,» ἐτελεύτησεν «εἰς βαθὺ γῆρας τοῦ βίου καταντήσας»(3), πιθανῶς τῷ 404.—

§. 180. Συγγράμματα αὐτοῦ· ὑπόθεσις τῶν ἀξιολογωτέρων ὁμιλιῶν.

Τὰ συγγράμματα τοῦ ποιμένος τῆς Ἀμασείας, τασσομένου ἐν τοῖς Πατράσι τῆς Ἐκκλησίας ὑπὸ τοῦ Π. Νικηφόρου, τοῦ Φωτίου, καὶ τῆς ἁγίας καὶ Οἰκουμενικῆς Ζ΄. Συνόδου(4), δεικνῦσιν αὐτὸν κατ᾽ἐξοχὴν ἐκκλησιαστικὸν ῥήτορα, καὶ τοιοῦτον, ὅστις δύναται καταλαβεῖν ἔντιμον θέσιν μεταξὺ τῶν ἐκκλησιαστικῶν ῥητόρων. Ἅπαντα τὰ μέχρις ἡμῶν ἀφικόμενα συγγράμματα αὐτοῦ συνίστανται εἰς λόγους, ἐν οἷς πολλὰ τὰ ὠφέλιμα τῇ τε πίστει καὶ τῇ εὐσεβείᾳ(5).

(1) Ὁμιλ. γ΄. σελ. 57. in Auct. Combefic.—

(2) Ἕτερον παράδειγμα αἰφνιδίου μεταβολῆς, ὑπὸ τοῦ Ἀστερίου μνημονευόμενον, ἐστὶν ὁ Ῥουφῖνος, ἀποτμηθεὶς τὴν κεφαλὴν τῷ 395.

(3) Φώτ. Ἀμφιλόχ. ζήτ. τθ΄. Ἡ μνήμη τοῦ ἁγίου Ἀστερίου ἑορτάζεται ὑπὸ τῆς ῥωμαϊκῆς Ἐκκλησίας τῇ λ΄. Ὀκτωβρίου.

(4) Πρᾶξ. δ΄. 14. ς΄. καὶ ή. ap. Binium. T. 3. 544, 659, 570. Εἷς τῶν τῆς Συνόδου πατέρων, Θεόδωρος ὁ ἐπίσκοπος Κομάνων, ὀνομάζει αὐτὸν μακάριον καὶ Θεοφόρον διδάσκαλον· ὁ ἅγιος Νικηφόρος ποιεῖται περὶ αὐτοῦ λόγον ἐν τῷ β΄. Ἀντιρρητ. ap. Combefic. Auct. nov. Bibl. Patr. p. 1. Paris. 1648, in fol. ὁ Π. Φώτιος ἐν τοῖς Ἀμφιλοχ. ζήτ. τθ΄.—

(5) 14 ὁμιλ. τοῦ Ἀστερίου ἐξ-

Δείξωμεν τὴν ὑπόθεσιν τῶν ἀξιολογωτάτων ὁμιλιῶν.

1.] Ἐν τῇ ὁμιλίᾳ ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον διδάσκει, ὅτι ὁ Κύριος Ἰησοῦς «οὐ τοῖς ἀποφατικοῖς καὶ δογματικοῖς μόνον θεσπίσματι παιδεύει τοὺς ἀνθρώπους, ὥστε μισεῖν κακίαν καὶ ἀγαπᾶν ἀρετήν· ἀλλὰ καὶ τοῖς ἐναργέσι τῶν ὑποδειγμάτων σαφῆ παραδίδωσι τὰ τῆς ἀγαθῆς πολιτείας μαθήματα, ἔργοις ὁμοῦ καὶ λόγοις προσβιβάζων ἡμᾶς τῇ καταλήψει τῆς ἀγαθῆς καὶ φιλοθέου ζωῆς». Καὶ ἔπειτα ἄρχεται ἑρμηνεύειν τὴν περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου παραβολὴν ἐν πνεύματι εὐσεβοῦς μελέτης. Αἱ λέξεις: ἄνθρωπος ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον διεγείρουσιν ἐν αὐτῷ ἰσχυρὰν μομφὴν κατὰ τῆς τρυφῆς ἔν τε τῇ ἐσθῆτι καὶ τοῖς κοσμήμασι. Διὰ τῶν λόγων τούτων ἀποφαίνεται ὁ Ἀστέριος, ὅτι ὁ Σωτὴρ ἐλέγχει τὴν πολυτέλειαν τῶν πλουσίων, καὶ

εδόθησαν ὑπὸ τοῦ Κομβεφισίου in tom. I. Auctar. novis. Paris. 1648, 1672. καὶ ὑπὸ τοῦ Δουκαίου, Auctar. Paris. 1624. Ὑπὸ τοῦ αὐτοῦ Κομβεφισίου ἐτυπώθησαν αἱ ἐκ τῶν ὁμιλιῶν τοῦ Ἀστερίου ἐκλογαὶ τοῦ Φωτίου. Ἐν τῷ ἀριθμῷ τῶν ὁμιλιῶν τούτων, ἃς ἀποδίδωσι τῷ Ἀστερίῳ τὸ μὲν ὁ Φώτιος, τὸ δὲ καὶ ἄλλοι ἀρχαῖοι (ἀνάγν. σοα'.) εὑρίσκονται ά.] Τὸ ἐν τοῖς λόγοις τοῦ ἁγ. Πρόκλου ἐγκώμιον εἰς τὸν ἅγιον πρωτομάρτυρα Στέφανον (Combefic. Auct. nov. T. 1. p. 283). β'.] ὁ προτρεπτικὸς περὶ μετανοίας, ὅν, ἑπόμενοι χειρογράφοις τισίν, ἐξέδωκαν ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης. T. 2. 1638. σελ. 165. γ'.] ὁ λόγος εἰς τὴν ἀρχὴν τῶν νηστειῶν, ὃν ὡσαύτως ἐξέδωκαν ἐν τοῖς συγγράμμασι τοῦ αὐτοῦ ἁγ. Γρηγορίου, T. 2. σελ. 247. Ὁ Κοτελέριος ἐξέδωκεν ἔτι (T. 3. monum. Gr. Eccles.) 4 ὁμιλίας τοῦ Ἀστερίου εἰς τοὺς ψαλμ. 4, 5, 6 καὶ 7. Ἡ λέξις οὐ κωλύει παραδέξασθαι αὐτὰς ὡς σύγγραμμα Ἀστερίου τοῦ Ἀμασείας· ἐξεφωνήθησαν ἐν ὡρισμέναις ἡμέραις, ὅπερ δείκνυσιν, ὅτι ἀποδοτέαι μᾶλλον τῷ ῥήτορι τῆς Ἀμασείας, ἢ Ἀστερίῳ τῷ Σκυθοπολίτῃ, ἑρμηνευτῇ 10 ψαλμ. Ὑπὸ τοῦ Ἐνσχενίου ἐξεδόθη τὸ ἐγκώμιον τοῦ ἁγίου μάρτυρος Βασιλέως, ἐπισκόπου Ἀμασείας (in Act. Sanctor., ad 26 April). Τεμάχιά τινα ἐκ τοῦ Ἀστερίου παράγονται in Caten. Patr. in Luc. ed. a Corderio, Antwerp. 1628. in Patrol. Migne T. 40, ἐξεδόθησαν 21 ὁμιλ. τοῦ Ἀστερίου.—

διδάσκει ἀρκεῖσθαι τῇ ἐσθῆτι, ἣ ἠδύνατο ἂν προφυλάττειν μόνον ἀπὸ τῆς ἐπηρείας τοῦ περιβάλλοντος. Ὁ τοιοῦτος σκοπὸς τῆς ἐσθῆτος ἐδείχθη τῷ πρώτῳ ἀνθρώπῳ. «Ἂν δὲ καταλιμπάνων τὸ πρόβατον καὶ τὸ ἔριον, καὶ τὴν ἀναγκαίαν τοῦ Δημιουργοῦ τῶν ὅλων παρασκευήν, ταῖς ματαίαις ἐπινοίαις, καὶ ταῖς ἐμπλήκτοις ἐπιθυμίαις ἐκδιαιτώμενος, τὴν βύσσον ἐπιζητῇς, καὶ συνάγῃς τὰ τῶν περσικῶν σκωλήκων νήματα, ἱστὸν δὲ ἀράχνης ἀνεμαῖον ὑφαίνῃς· καὶ πρὸς τὸν ἀνθόβαφον ἐρχόμενος, μισθοὺς τελεῖς δαψιλεῖς, ἵνα τὸν κόχλυν ἐκ θαλάσσης θηρεύσας, τῷ αἵματι τοῦ ζώου χρίσῃ τὸ ἔνδυμα, τοῦτο ὑπερμαζῶντός ἐστιν ἀνθρώπου, παραχρωμένου τῇ κτήσει, οὐκ ἔχοντος ὅπου τὸ περιττεῦον ἐκχέῃ. Καὶ διὰ τοῦτο ὁ τοιοῦτος μαστίζεται, παρὰ τοῦ Εὐαγγελίου κατηγορούμενος, ὡς βλὰξ καὶ θηλυδρίας, κόσμοις ἀθλίων κορασίων καλλωπιζόμενος». Ἔπειτα ἐλέγχει τοὺς θέλοντας ἐνδύεσθαι ἱμάτια, ἐν οἷς ἐνσημαίνονται αἱ μορφαὶ διαφόρων ζώων, πτηνῶν, κ. τ. λ. Οὐ φείδεται δὲ καὶ ἐκείνων, οἳ ἀναλεξάμενοι τὴν εὐαγγελικὴν ἱστορίαν τοῖς ὑφανταῖς παρέδωκαν. «Ἐμὴν δέ, λέγει, εἰ δέχονται συμβουλήν, ἐκεῖνα πωλήσαντες, τὰς ζώσας εἰκόνας τοῦ Θεοῦ τιμησάτωσαν. Μὴ γράφε τὸν Χριστὸν (ἀρκεῖ γὰρ αὐτῷ ἡ μία τῆς ἐνσωματώσεως ταπεινοφροσύνη, ἣν αὐθαιρέτως δι' ἡμᾶς κατεδέξατο), ἐπὶ δὲ τῆς ψυχῆς σου, βαστάζων νοητῶς τὸν ἀσώματον Λόγον, περίφερε. Μὴ τοῖς ἱματίοις ἔχε τὸν παραλυτικόν· ἀλλὰ τὸν κείμενον ἄρρωστον ἐπιζήτησον. Μὴ ἱστόρει συνεχῶς τὴν αἱμορροοῦσαν, ἀλλὰ χήραν θλιβομένην ἐλέησον. Μὴ τὴν ἁμαρτωλὸν γυναῖκα ἐπιμελῶς ὅρα γονυπετοῦσαν τὸν Κύριον, ἀλλ' ἐπὶ τοῖς αὐτοῦ πλημμελήμασι συντριβόμενος, πυκνὸν ἔκχεον τὸ δάκρυον. Μὴ τὸν Λάζαρον ἐγειρόμενον ἐκ νεκρῶν σκιαγράφει· ἀλλὰ τῆς σῆς ἀναστάσεως ἀγαθὴν τὴν ἀπολογίαν εὐτρέπιζε. Μὴ τὸν τυφλὸν ἐπὶ τῆς ἐσθῆτος περίφερε, ἀλλὰ τὸν ζῶντα, καὶ τῶν ὄψεων ἀφῃρημένον ταῖς εὐποιΐαις παραμυθοῦ». Ἐν τῷ λοιπῷ μέρει τῆς ὁμιλίας ἐξακολουθεῖ ἐλέγχων τὴν πολυτέλειαν ἐν τοῖς καλλωπισμοῖς, δεικνὺς ὅσοι μὲν ἄνθρωποι καταστρέφονται ἐκ τούτων, ὅσοι δὲ διαπράττονται φρικτοτάτας ἀδικίας, καὶ εἰς ἡλίκα ἐγκλήματα ἄγει τὸ πάθος τοῦτο.

Οἱ λόγοι οὗτοι τοῦ Ἀστερίου περὶ τῶν ἱερῶν εἰκόνων ἐπαναλαμ-

ϐάνοντο πολλάκις ὑπὸ τῶν εἰκονομάχων ἐν ταῖς κατὰ τῶν Εἰκόνων βλασφημίαις αὐτῶν. Ἀλλὰ μόνον ὁ κατὰ τῶν ἁγίων εἰκόνων προκατειλημμένος δύναται εἰπεῖν, ὅτι ὁ Ἀστέριος ἐλέγχει ἐκεῖνο, ὅπερ κατεδίκαζον οἱ Εἰκονομάχοι. Καὶ α'.] Ἀστέριος ὁμιλεῖ ἐναντίον τῶν ἱερῶν εἰκόνων τῶν γραφομένων ἐπὶ ἁπλῶν ἱματίων, οὐχὶ δὲ τῶν τοῦ ναοῦ· ϐ'.] ἐλέγχει κυρίως τὴν πολυτέλειαν, ἥτις μετεχειρίζετο καὶ αὐτὰ τὰ ἱερὰ πράγματα πρὸς τροφὴν τοῦ ἁμαρτωλοῦ πάθους, καὶ οὐδοπωστιοῦν ἐξεπλήρου τὸν σκοπὸν τῶν ἱερῶν εἰκόνων· γ'.] Εἰ καὶ ἐπὶ τῶν χρόνων τοῦ Ἀστερίου οἱ Εὐσεϐέστεροι εἰσήγαγον τὴν χρῆσιν τῶν Ἱερῶν ζωγραφιῶν μέχρι τῆς οἰκιακῆς χρήσεως, ἂν καὶ πολλοὶ οὐκ ἐξεπλήρουν εὐσεϐῶς τὸ ἅγιον τοῦτο ἔργον, ἐντεῦθεν ἕπεται μόνον, ὅτι ἡ εὐλάϐεια πρὸς τὰ ἱερὰ ὑπερέϐη ἤδη τότε τὰ ἔννομα ὅρια, οὐχ ἕπεται δέ, ὅτι οὐχ ὑπῆρχεν ἡ τιμητικὴ προσκύνησις τῶν εἰκόνων, ἢ ὅτι αὐτὴ ἡ τιμητικὴ προσκύνησις καθ' ἑαυτὴν κατεδικάζετο· διότι ταῦτα πάντα ἀποδεικνύονται διὰ τῶν ἄλλων λόγων τοῦ θείου Πατρός.

2.] Εἰς μαρτύριον τῆς πανευφήμου μάρτυρος Εὐφημίας Ἔκφρασις. Τὸ σύγγραμμα τοῦτο ἀναμφιϐόλως ἀνήκει εἰς τὸν ἐπίσκοπον Ἀμασείας ἅγιον Ἀστέριον, ὡς τοῦτο δείκνυσιν ἡ Ζ'. Οἰκουμενικὴ Σύνοδος(1), καὶ ὁ Π. Φώτιος(2). Ἐν τῇ Ἐκφράσει ταύτῃ ὁ Ἀστέριος τὸ μὲν πρῶτον ὁμιλεῖ περὶ τοῦ μαρτυρικοῦ ἀγῶνος τῆς ἁγίας Εὐφημίας, ἔπειτα δὲ προστίθησιν: «οἱ μὲν οὖν τῶν τοῦ Θεοῦ μυστηρίων ἱεροφάνται καὶ λόγῳ τιμῶσι τὴν μνήμην ἀεί, καὶ ὅπως ἐξετέλεσε τὸν τῆς καρτερίας ἀγῶνα, ἐπιμελῶς τοὺς συνιόντας λαοὺς ἐκδιδάσκουσιν. Ὁ δὲ δὴ ζωγράφος εὐσεϐῶν καὶ αὐτός, διὰ τῆς τέχνης κατὰ δύναμιν, πᾶσαν τὴν ἱστορίαν ἐν σινδόνι, αὐτοῦ που περὶ τὴν θήκην ἱερὸν ἀνέθηκε θέαμα». Ἔπειτα καθ' ἓν ἕκαστον περιγράφει ἐν τίνι εἴδει παρε-

(1) Ἡ σύνοδος ἐν τῇ Δ'. πράξ. ἀποδίδωσι τῷ Ἀστερίῳ τὸ σύγγραμμα τοῦτο, καὶ ἔπειτα ἐπάγεται αὐτὸ ἐν τῇ ς'. καὶ ζ'. πρ. ap. Binium in Tom. III. collect. can. p. 544. S. 659, 700. Ὁ Π. Ἀδριανὸς ὁ β'. παράγει αὐτὸ in lib. de imaginib.

(2) Ἀνάγν. σοα'. Ἀμφιλόχ. Ζήτημ. τθ'.

στάθησαν ὑπὸ τοῦ ζωγράφου οἱ ἀγῶνες [*] τῆς ἁγίας μάρτυρος (¹).

[*] Ἡ θαυμασία αὕτη περιγραφὴ ἔχει ὧδε: «Ὑψηλὸς ἐπὶ θρόνου καθίδρυται δικαστής, πικρὸν καὶ δυσμενὲς βλέπων εἰς τὴν παρθένον (ὀργίζεται γάρ, ὅτ' ἂν ἐθέλῃ, κἂν ταῖς ἀψύχοις ὕλαις ἡ τέχνη). Δορυφόροι δὲ τῆς ἀρχῆς καὶ στρατιῶται πολλοί· οἱ μὲν τῶν ὑπομνημάτων ὑπογραφείσας δέλτους φέροντες καὶ γραφίδας· ὧν θάτερος ἀναρτήσας ἀπὸ τοῦ κηροῦ τὴν χεῖρα, βλέπει πρὸς τὴν κρινομένην σφοδρῶς, ὅλον ἐκκλίνας τὸ πρόσωπον, ὥσπερ κελευόμενος αὐτῇ γεγωνότερον λαλεῖν, ἵνα μὴ κάμνων περὶ τὴν ἀκοήν, ἐσφαλμένα γράφῃ καὶ ἐπιλήψιμα. Ἕστηκε δὲ ἡ παρθένος ἐν φαιῷ χιτῶνι, καὶ ἱματίῳ τὴν φιλοσοφίαν σημαίνουσα· ὡς μὲν ἔδοξε τῷ γραφεῖ, καὶ τὴν ὄψιν ἀστεία· ὡς δὲ ἐμοὶ δοκεῖ, τὴν ψυχὴν κεκαλλωπισμένη ταῖς ἀρεταῖς. Ἄγουσι δὲ αὐτὴν πρὸς τὸν ἄρχοντα δύο στρατιῶται, ὁ μὲν ἕλκων ἐπὶ τὰ πρόσω, ὁ δὲ κατόπιν ἐπείγων. Κεκραμένον τῆς παρθένου τὸ ἦθος αἰδοῖ καὶ στερρότητι. Νεύει μὲν γὰρ εἰς γῆν, ὥσπερ ἐρυθριῶσα τὰς ὄψεις τῶν ἀρρένων· ἕστηκε δὲ ἀκατάπληκτος, οὐδὲν πάσχουσα πρὸς τὸν ἀγῶνα δειλόν· ὡς ἔγωγε τοὺς ἄλλους τέως ἐπῄνουν ζωγράφους, ὅτ' ἂν ἐθεασάμην τῆς γυναικὸς ἐκείνης τῆς Κολχίδος τὸ δρᾶμα, ὅπως μέλλουσα τοῖς ξένοις ἐπιφέρειν τὸ ξίφος, ἐλέῳ καὶ θυμῷ μερίζει τὸ πρόσωπον, καὶ θάτερος μὲν τῶν ὀφθαλμῶν τὴν ὀργὴν ἐμφανίζει, θάτερος δὲ τὴν μητέρα μηνύει, φειδομένην καὶ φρίττουσαν· νῦν δὲ τὸ θαῦμα, ἀπ' ἐκείνης τῆς ἐννοίας πρὸς ταύτην μετατέθεικα τὴν γραφήν. Καὶ σφόδρα γε ἄγαμαι τοῦ τεχνίτου, ὅτι μᾶλλον ἔμιξε τῶν χρωμάτων, τὸ ἦθος, αἰδῶ τε ὁμοῦ καὶ ἀνδρείαν κεράσας, πάθη κατὰ φύσιν μαχόμενα. Προβαινούσης δὲ εἰς τὸ πρόσω τῆς μιμήσεως, δήμιοί τινες ἐν χιτωνίσκοις γυμνοί, ἤδη εἴχοντο τοῦ ἔργου· καὶ ὁ μὲν δραξάμενος τῆς κεφαλῆς, καὶ ἀνακλίνας εἰς τὸ κατόπιν, παρεῖχε τῷ ἑτέρῳ εὔτρεπὲς εἰς τιμωρίαν τῆς παρθένου τὸ πρόσωπον· ὁ δὲ παραστὰς ἐξέκοπτε τῶν ὀδόντων. Σφῦρα δὲ καὶ τέρετρον φαίνεται τῆς τιμωρίας τὰ ὄργανα. Δακρύω δὲ τὸ ἐντεῦθεν, καί μοι τὸ πάθος ἐπικόπτει τὸν λόγον. Τὰς γὰρ τοῦ αἵματος σταγόνας οὕτως ἐναργῶς ἐπέχρωσεν ὁ γραφεύς, ὥστε εἴποις ἂν προχεῖσθαι τῶν χειλέων ἀληθῶς, καὶ θρηνήσας ἀπέλθοις. Δεσμωτήριον μετὰ ταῦτα, καὶ πάλιν ἡ παρθένος σεμνὴ ἐν τοῖς φαιοῖς ἱματίοις κάθηται μόνη, ἐκτείνουσα τὼ χεῖρε πρὸς οὐρανόν, καὶ καλοῦσα Θεὸν ἐπίκουρον τῶν δεινῶν. Εὐχομένῃ δὲ ταύτῃ φαίνεται ὑπὲρ κεφαλῆς τὸ σημεῖον, ὃ δὴ χριστιανοῖς προσκυνεῖσθαί τε πέφυκε καὶ ἐπιγράφεσθαι, σύμβολον, οἶμαι, τοῦ πάθους, ὅπερ αὐτὴν ἐξεδέχετο. Εὐ-

3.] Ἐν τῷ ἐγκωμίῳ εἰς τοὺς ἁγίους μάρτυρας δείκνυσιν ἡμῖν ὁ Ἀστέριος καὶ τοὺς ἀνθρώπους, καθ' ὧν ἐπὶ τῆς ἐποχῆς αὐτοῦ ὑπερήσπιζε τὴν πρὸς τοὺς ἁγίους τοῦ Θεοῦ καὶ τὰ ἅγια αὐτῶν λείψανα τιμήν. Οὗτοι ἦσαν, ὡς λέγει, οἱ ἐθνικοὶ καὶ οἱ νέοι Ἰουδαῖοι, τουτέστιν οἱ Εὐνομιανοί. «Διὰ τοῦτο, λέγει, τὰ εὐσεβῆ σώματα περιστείλαντες, τὰ σκεύη τῆς ἐκλογῆς, τὰ τῶν μακαρίων ψυχῶν ὄργανα, τὰς οἰκίας τῶν φιλοσόφων ἐνοίκων, ὡς κειμήλια πολυτίμητα τῷ παντὶ βίῳ φυλάσσομεν, φρουροῦμεν δὲ αὐτοῖς ὡς ἡμετέροις πλεονεκτήμασι, καὶ τοῖς μάρτυσιν ἡ Ἐκκλησία τετείχισται ὡς πόλις ὁπλίταις γενναίοις, καὶ πάνδημοι πανηγύρεις ἀθροίζονται, καὶ τῆς θυμηδίας τῶν ἑορτῶν ἀπολαύομεν. Οἱ δὲ ταῖς ἀνθρωπικαῖς περιστάσεσιν ἢ συμφοραῖς πιεζόμενοι, ὡς ἐπί τι κρησφύγετον τὰς ἀναπαύσεις τῶν τρισμακαρίων σπεύδουσι. Πρεσβευτὰς αὐτοὺς τῶν εὐχῶν καὶ αἰτημάτων διὰ τὸ ὑπερβάλλον τῆς παρρησίας, ποιοῦμεν.

θὺς γοῦν καὶ μετ' ὀλίγον, πῦρ ἀλλαχοῦ σφοδρὸν ὁ ζωγράφος ἀνῆψεν, ἐρυθρῷ χρώματι, ἔνθεν καὶ ἔνθεν ἐπιλαμφθέντι, σωματοποιήσας τὴν φλόγα. Ἵστησι δὲ μέσην αὐτήν, τὰς μὲν χεῖρας πρὸς οὐρανὸν διαπλώσασαν, ἀχθηδόνα δ' οὐδεμίαν ἐπιφέρουσαν τῷ προσώπῳ· ἀλλὰ τοὐναντίον γεγηθυῖαν, ὅτι πρὸς τὴν ἀσώματον καὶ μακαρίαν ἐξεδήμει ζωήν. Μέχρι τούτου καὶ ὁ ζωγράφος ἔστησε τὴν χεῖρα, κἀγὼ τὸν λόγον». Σ. Μ.—

(1) Τὸ σύγγραμμα τοῦτο ἐτυπώθη ἐν τῇ «χριστιανικῇ Ἀναγνώσει» τῷ 1827. ἀρ. 27. μετὰ σημειώσεων. Οἱ ἐκδόται, καθάπερ καὶ ὁ Τιλλεμόντιος, ὑποτιθεῖσιν, ὅτι τοῦτο οὐκ ἔστιν ὁμιλία, ἀλλ' ἰδιαίτερον σύγγραμμα, συγγραφὲν ἔτι πρὶν ἢ χειροτονηθῇ ἐπίσκοπος. Ἀλλὰ ά.] ἐν τῇ συνόδῳ ἐκάλεσαν αὐτὸ «λόγον περὶ εἰκόνος»· β'.] ὁ Ἀστέριος ἄρχεται τοῦ συγγράμματος, ὡς ὁμιλίας: «Πρώην μέν, ὦ ἄνδρες, Δημοσθένην ἔχων ἐν χερσίν . . .» Ἡ ἀρχὴ αὕτη δείκνυσιν, ὅτι ἐστὶ λόγος, καὶ οὐχὶ ἰδιαίτερον σύγγραμμα· γ'.] ἐκεῖνο, ὅπερ λέγει ὁ Ἀστέριος περὶ τῆς ἀναγνώσεως τοῦ Δημοσθένους καὶ ποιεῖται μνείαν τοῦ ζωγράφου Εὐφράνορος καὶ τῆς Μηδείας, οὐκ ἔστιν ἀπόδειξις, ὅτι οὐκ ἔστι λόγος. Ὁ Θεόλογος καὶ ἀνεγίνωσκε, καὶ κατεχώριζεν ἐν τοῖς λόγοις αὐτοῦ ῥήσεις τῶν Ἑλλήνων ποιητῶν τε καὶ ῥητόρων, τὸν δ' Ἀστέριον προὐκάλεσεν εἰς τοῦτο αὐτὸ τὸ ἀντικείμενον τοῦ λόγου. Ἐν τῷ αὐτῷ περιοδικῷ συγγράμματι ἐτυπώθη ἡ ὁμιλία εἰς τὸν οἰκονόμον τῆς ἀδικίας.—

Ἐντεῦθεν πενίαι λύονται, καὶ ἰατρεύονται νόσοι, καὶ ἀρχόντων ἀπειλαὶ κοιμίζονται· πασῶν δὲ τῶν ταραχῶν καὶ χειμώνων τοῦ βίου λιμένες εἰσὶν εὔδιοι οἱ ἱεροὶ τῶν μαρτύρων σηκοί. Οὕτω πατὴρ ἢ μήτηρ ἀραμένη τὸν ἄρρωστον παῖδα, καὶ περιστείλασα ταῖς ἀγκάλαις, παρατρέχει μὲν ἰατρεῖα καὶ ἰατρούς, ἐπὶ δὲ ἄτεχνον καταφεύγει βοήθειαν· καὶ πρὸς ἕνα τῶν μαρτύρων ἐλθοῦσα, δι' ἐκείνου τῷ Δεσπότῃ προσάγει τὴν αἴτησιν, τοιαύταις κεχρημένη πρὸς τὸν μεσίτην φωναῖς: παθὼν διὰ Χριστόν, πρέσβευσον ὑπὲρ πάθους καὶ νόσου. Ἔχων παρρησίαν, χρῆσον λόγον τοῖς ὁμοδούλοις. Εἰ καὶ τὸν ἡμέτερον βίον ἀπέλιπες, ἀλλὰ γοῦν οἶδας τὰ πάθη τῆς ἀνθρωπότητος... Ἡμεῖς μάρτυρας οὐ προσκυνοῦμεν, ἀλλὰ τιμῶμεν ὡς γνησίους προσκυνητὰς Θεοῦ· οὐ σέβομεν ἀνθρώπους, θαυμάζομεν δὲ τοὺς ἐν καιρῷ πειρασμῶν καλῶς σεβασθέντας Θεῷ. Ἐν θήκαις φιλοκάλοις ἀποτιθέμεθα, καὶ οἴκους τῆς ἀναπαύσεως ἐγείρομεν, ταῖς κατασκευαῖς μεγαλοπρεπεῖς, ἵνα ζηλώσωμεν τὰς τῶν καλῶς τελευτησάντων τιμάς· οὐκ ἄμισθον δὲ τὴν εἰς αὐτοὺς σπουδὴν ἐπιδεικνύμεθα, ἀλλὰ τῆς προστασίας αὐτῶν τῆς πρὸς Θεὸν ἀπολαύομεν.» Τοῖς Εὐνομιανοῖς λέγει ὁ ἱεράρχης: «Οἱ δὲ τῆς νέας στάσεως Ἰουδαῖοι, τί θαυμαστόν, εἰ μάρτυρας ἀτιμάζετε, Χριστὸν ἀθετοῦντες, καὶ τῆς ὁμοιότητος τῆς πρὸς τὸν Πατέρα ἐν τοῖς ἰδίοις λόγοις χωρίζοντες, φυλαττόμενοι δὲ τοὺς τόπους ὡς βεβήλους, ἐν οἷς σώματα ἅγια ἀναπέπαυται. Ἀλλ' εἰ μὴ εἰς ἔννοιαν ἔλθετε τοῦ γινομένου, φοβήθητε χριστιανοὶ λεγόμενοι μετὰ δὲ Ἑλλήνων μισοῦντες μάρτυρας. Οὐκ ἴστε ὡς ἀρχιμάρτυς Χριστός, πρῶτος παθών, καὶ τοῖς δούλοις τὸν ζῆλον ἀφείς;» Καὶ ἀπαριθμεῖ τοὺς μάρτυρας Ἀποστόλους. «Ἀλλ' ὅταν, λέγει, τούτων ἀκούσῃς, οἶδα ἃ φρονεῖς, καὶ λέγεις· Δεκτικὸς κἀγὼ τῶν ὁμοίων. Ἂν ζήσω κατ' ἀρετήν, οὐ χείρων, οὐδ' ἀτιμότερος τῶν νῦν θαυμαζομένων ἔσομαι. Μάλιστα μὲν οὖν, ἀλαζόνος ταῦτα τὰ ῥήματα, δικαιοῦντος ἑαυτόν, κατὰ τὸν μεγάλαυχον Φαρισαῖον, καὶ πάσης ταπεινότητος ξένα. Πρόδηλον δέ, ὡς ὁ μὴ πρότερον ταπεινωθείς, εἰς ὕψος οὐκ ἀναβαίνει· ἀπόφασις γάρ ἐστι δεσποτική. Ἵνα δέ τίς σοι ἐνεχυρίζῃ, ὅτι γενήσει τοιοῦτος, οὐ θέλεις, εἰπέ μοι, αἰδεσθῆναι τοὺς τὴν ὁδόν σοι τῆς εὐσεβείας τέμνοντας, τοὺς ὁδηγοὺς τῶν καλῶν, τοὺς διδασκάλους τῆς ἀρετῆς,

τοὺς παιδεύσαντάς σε καρτερίαν καὶ θανάτου καταφρόνησιν; . . . . πολλὰ καὶ τελευτήσαντες ἅγιοι δύνανται, καὶ ἀπελθόντες τοῦ βίου εὐεργετοῦσιν ἀνθρώπους». Καὶ φέρει παραδείγματα τούτου τὸ μὲν πρῶτον ἐκ τῆς ἱστορίας τῆς Παλαιᾶς Διαθήκης, ἔπειτα δὲ ἐκ τῆς τῶν Ἀποστόλων καὶ τῶν Μαρτύρων. Ἡ ὁμιλία αὕτη ἐστι πολύτιμος τοῖς μαθηταῖς τοῦ Λουθήρου!—

4.] Ἐν τῷ λόγῳ κατηγορικῷ τῆς ἑορτῆς τῶν Καλανδῶν ἐλέγχων μετὰ ζήλου χριστιανοῦ ποιμένος τὴν ἐθνικὴν πανήγυριν τοῦ νέου ἔτους, λέγει: «Τί τοίνυν, ἢ τὴν ἑορτὴν καλέσωμεν, ἢ τὰ ἐν ταύτῃ δαπανώμενα. Εἴπατε δὲ οἱ περὶ αὐτὴν ἐσπουδακότες· δότε λόγον, ὡς ἡμεῖς, τῶν ἀληθινῶν καὶ κατὰ Θεὸν πανηγύρεων. Γενέθλιον ἑορτάζομεν, ἐπειδὴ τὰ ἐν σαρκὶ Θεοφάνια κατὰ τοῦτον τὸν χρόνον ἔδειξεν ἡμῖν ὁ Θεός. Φῶτα πανήγυριν ἄγομεν, ἐπειδὴ τῇ τῶν ἁμαρτημάτων ἀφέσει, οἷον ἐκ σκοτεινοῦ τινος δεσμωτηρίου τοῦ προτέρου βίου, πρὸς τὸν φωτεινὸν καὶ ἀνεύθυνον ἀναγόμεθα. Καλλωπιζόμεθα πάλιν, καὶ χαίροντες ἐμπομπεύομεν τῇ ἡμέρᾳ τῆς Ἀναστάσεως· τὴν γὰρ ἀφθαρσίαν ἡμῖν, καὶ τὴν πρὸς τὸ κρεῖττον δηλοῖ μετακόσμησιν. Οὕτω ταύτας ἑορτάζομεν, οὕτω τὰς ἐφεξῆς. . . .» Ἔπειτα δὲ δείκνυσιν, ὅτι αἱ ἐθνικαὶ τελεταὶ τοῦ νέου ἔτους εἰσὶν ἄλογοι.

§. 184. Ὁ ὅσιος Ἱερώνυμος ὁ ἐκ Στριδῶνος. Βίος αὐτοῦ Α΄.] πρὸ τῆς εἰς τὴν Ἀνατολὴν τῷ 385 μεταβάσεως αὐτοῦ.

Τὴν ἐπιθεώρησιν τοῦ τετάρτου αἰῶνος προσήκει περᾶναι τῇ ἐπιθεωρήσει τοῦ μεγάλου ἀσκητοῦ καὶ διδασκάλου τῆς Ἐκκλησίας, τοῦ ὁσίου Ἱερωνύμου.

Ὁ μακάριος οὗτος ἀνὴρ ἐγεννήθη τῷ 329 ἐν Στριδῶνι, πολιχνίῳ κειμένῳ ἐν τοῖς μεθορίοις τῆς Δαλματίας καὶ Παννονίας(1). Μετὰ τὴν

(1) De vir. illustr. c. 135. Ὁ Βεδεχούϊος γράφει ἐν τῇ μακρᾷ αὐτοῦ τοπογραφίᾳ τῆς Οὐγγαρίας περὶ τῆς Στριδῶνος: Oppidum Stridonense, quod in latino idiomate *Stridon*, in slavonico pro vario circumjuncti populi diallecto *Stridovo*, *Strigovo* et *Strigna* appelatur, ut oculis circumspicimus, in valle inter montes vineis consitos si-

πρώτην ἀνατροφὴν γενομένην ἐν τῷ οἴκῳ τοῦ ἑαυτοῦ πατρός, λίαν πλουσίου ὄντος καὶ εὐσεβοῦς([1]), μετέβη εἰς Ῥώμην πρὸς τελειοτέραν ἐκπαίδευσιν. Ἐνταῦθα ἐπαιδεύθη τὴν λατινικὴν καὶ τὴν ἑλληνίδα γλῶσσαν καὶ πᾶσαν τὴν ἐγκύκλιον μάθησιν παρὰ τῷ περιφανεῖ γραμματικῷ Δονάτῳ (καὶ τῷ ῥήτορι Βικτορίνῳ), καὶ ἐξέμαθε τὰ συγγράμματα τῶν φιλοσόφων([2]). « Παῖς ἔτι ὢν ἐν Ῥώμῃ καὶ παιδευόμενος τὴν ἐγκύκλιον παιδείαν, ἔγραφεν αὐτὸς ἐν τῷ μετὰ ταῦτα, ἐπορευόμην συνήθως κατὰ τὰς Κυριακὰς μετὰ τῶν ὁμηλίκων καὶ τὰ αὐτὰ ἐμοὶ φρονούντων εἰς τοὺς τάφους τῶν Ἀποστόλων καὶ τῶν Μαρτύρων, καὶ πολλάκις κατέβαινον εἰς τὰς κατακόμβας, ἔνθα ἐν τῷ βάθει τῆς γῆς κατ' ἀμφότερα τὰ μέρη τῆς ὁδοῦ ἐν τοῖς τοίχοις κατακρύπτονται τὰ σώματα τῶν τεθαμμένων » ([3]). Οὕτω διῆγε κατὰ τὰ πρῶτα ἔτη τῆς ἐν Ῥώμῃ διατριβῆς αὐτοῦ· ἀλλ' ἔπειτα ἡ σχολὴ τοῦ ἐθνικοῦ, ἰδίως τοιαύτη, οἵα ἦν ἡ ῥωμαϊκή, προσείθισε τῇ τέρψει τὸν θερμὸν νεανίαν ([4]). Ἡ ὁδοιπορία καὶ ἡ μετὰ σοφῶν ἀνδρῶν προσωπικὴ γνωριμία παρηγόρουν τὸν Ἱερώνυμον ἐλπίζοντα κτήσασθαι κρείττονα ἐκπαίδευσιν. Τῷ 364 ἀπῆλθεν ([5]) εἰς Γαλλίαν καὶ ἄλλας χώ-

tuatum est» (c. 60). Ὁ αὐτὸς (c. 44) σημειοῖ, ὅτι ἡ Στριδὼν κεῖται ἡμίσειαν ὥραν μακρὰν τοῦ ποταμοῦ Μούρα, ὅτι ἡ χώρα κατῳκεῖτο ὑπὸ Σλάβων, καὶ ὅτι (c. 61) τῷ 1447 ὁ Πάπας Νικόλαος ὁ Ε΄. δι' ἐπιστολῆς αὐτοῦ διέταξεν ἐπισκευάσαι τὴν ἀρχαίαν ἐκκλησίαν τοῦ ἁγίου Ἱερωνύμου ἐν Στριδῶνι, ὡς τόπῳ τῆς γεννήσεως αὐτοῦ.

([1]) Ep. 3 (41) ad Rufin. πρβλ. ep. 4. §. 4. lib. I. contr. Rufin. §. 30. ep. ad Eustoch. (T. 4. P. 2. p. 42.).

([2]) In epist. l. 1. c. 2. in Ezechiel. lib. XII. c. 40. contr. Rufin. l. 1. c. 16. Ἐν τῷ τελευταίῳ συγγράμματι ἀπαριθμεῖ τοὺς κλασσικούς, οὓς ἀνέγνω. Ὁ Δονάτος ὑπεμνημάτισε τὸν Οὐϊργίλιον καὶ Τερέντιον (lib. I. contr. Rufin.). Περὶ τῆς ἀναγνώσεως τῶν φιλοσοφικῶν βιβλίων ὅρ. ep. 50 (51) ad Domnionem.

([3]) In Ezechielem lib. XII. c. 40.

([4]) Epist. 14 (1) ed. Veronens. ep. (43) ad Chromatium: Scitis ipsi lubricum adolescentiæ iter, in quo et ego lapsus sum et vos non sine timore transitis.

([5]) Ἔτι ἐν Ῥώμῃ ἔμαθε τὸν θάνατον τοῦ Ἰουλιανοῦ. Comment. in Habac.—

ρας. Ἀφικόμενος δὲ εἰς Τρηούηρον (Trèves) κατενόησε τὰ σφάλματα τῆς νεότητος, καὶ ἔγνω καταλιπεῖν τὸν κόσμον (1), οὐχὶ δὲ καὶ τὰς πνευματικὰς ἐπιστήμας (2). Ἐν Ἀκυληΐᾳ εὗρε λογίους τε καὶ εὐσεβεῖς φίλους, καὶ διήγαγεν ἐνταῦθα χρόνον τινὰ ἐν τοῖς ἀγῶσι τῆς μοναδικῆς πολιτείας (3). Μετὰ θορυβώδη περιστατικὰ καταλιπὼν τὴν ἐρημίαν τῆς Ἀκυληΐας (4), ἐλούσατο ἐν Ρώμῃ τῷ ὕδατι τοῦ βαπτίσματος· ἀλλ' ἐν τῇ ταραχώδει Ρώμῃ οὐκ ἠδύνατο διαμεῖναι· διὸ τῷ 373 ἀνεχώρησεν εἰς τὴν Ἀνατολὴν (5) μετ' ἀπεσταλμένου τοῦ Πάπα διὰ τὰς ὑποθέσεις τῆς Ἀντιοχείας. Ὁ υἱὸς πλουσίου ἀνδρὸς οὐδὲν ἔλαβε μεθ' ἑαυτοῦ κατὰ τὴν μακρὰν ὁδοιπορίαν ἐκτὸς βιβλίων (6). Οἱ κόποι τῆς ὁδοιπορίας καὶ οἱ ἀγῶνες ἐξησθένισαν τὸν σταθερὸν ἀσκητήν, καὶ ἐν Ἀντιοχείᾳ (τῷ 374) προσεβλήθη ὑπὸ πυρετοῦ, δύο δὲ φίλοι καὶ συνοδοιπόροι αὐτοῦ ἐτελεύτησαν (7). Κατὰ τὴν ἀσθένειαν ὁ διάπυρος ἐραστὴς τῶν κλασικῶν ἐθνικῶν ἤκουσε τὸν δεινὸν ἔλεγχον τοῦ πάθους αὐτοῦ. «Ἔδοξέ μοι, γράφει, ὅτι ἤχθην εἰς δικαστήριον. Ἐρωτηθεὶς περὶ τῆς πί-

(1) Ep. 3 (44) ad Rufin. «Post romana studia ad Rheni semibarbaras ripas primus cœpi Christum colere».

(2) Ὡς ἐν Ρώμῃ, οὕτω καὶ ἐν Τρηουήρῳ, ὁτὲ μὲν ἠγόραζεν, ὁτὲ δὲ αὐτὸς ἀντέγραφε καὶ παρεκάλει τοὺς φίλους αὐτοῦ ἀντιγράφειν χειρόγραφα. Ἐν Τρηουήρῳ μεταξὺ ἄλλων ἀντέγραψε τὴν ἑρμηνείαν τοῦ ἁγίου Ἱλαρίου εἰς τοὺς ψαλμοὺς καὶ τὸ περὶ συνόδων σύγγραμμα αὐτοῦ. Ep. 5 (6) ad Florent. ep. 4. p. 6.—

(3) Ἐνταῦθα ἔσχε τὴν γνωριμίαν τοῦ Ρουφίνου, τοῦ Χρωματίου (ἑρμηνευτοῦ τοῦ Εὐαγγελίου), τοῦ ἀδελφοῦ αὐτοῦ Εὐσεβίου, καὶ τοῦ Νικήτα. Rufin. l. I. invect §. 3. Hieron. ep. 3. Chronic. ad an. 376.—

(4) Ep. 3 (44) ad Rufin. «Subito turba mea latere tuo convulsit. Τὴν καταιγίδα ταύτην ἤγειρεν, ὡς πιθανόν, vir consularis, ἐλεγχθεὶς ἐπὶ σκληρότητι καὶ ἀδικίᾳ.—

(5) Ep. 15 (57), ad Damasum ep. secunda: «Ego vero, ut antea jam scripsi, Christi vestem in Romana urbe sussipiens, nunc barbaro Syriæ limite teneor». Τὴν ὁδοιπορίαν αὐτοῦ περιγράφει ἐν τῇ γ'. πρὸς Ρουφῖνον ἐπιστολῇ.—

(6) Ep. 22 ad Eustochium. §. 30.

(7) Ep. 3 ad Rufin. ep. 4 (5) ad Florentium.

στεώς μου, ἀπεκρινάμην, ὅτι εἰμὶ χριστιανός. Ἀλλ' ὁ τὴν πρώτην θέσιν κατέχων δικαστής, εἶπέ μοι: ψεύδη, σὺ εἶ κικερωνιανός, ἀλλ' οὐχὶ χριστιανός· ὅπου ἐστὶν ὁ θησαυρός σου, ἐκεῖ καὶ ἡ καρδία σου» ([1]). Καταταραχθείς, ἔγνω ἀγαπᾷν μόνον τὰ πνευματικὰ βιβλία, καὶ ἀπεχώρησεν εἰς τὴν ἀγρίαν ἔρημον τῆς Συρίας Χαλκίδα. Ἐνταῦθα ἥ τε ἀγρία θέσις καὶ ἡ ἰσχυρὰ θέλησις ὑπέβαλον αὐτὸν αὐστηροῖς ἀγῶσιν ([2]). Ὑφίστατο δεινὸν ἀγῶνα πρὸς τὸν θερμὸν αὐτοῦ ὀργανισμόν, ἀλλ' εὕρισκεν ἠρεμίαν, ἣν οὐχ εὕρισκεν ἐν τῷ τρυφηλῷ ρωμαϊκῷ βίῳ. Ἵνα ἐλαττώσῃ τὴν θερμὴν αὐτοῦ φαντασίαν, ἄγων ἤδη τὸ μδ'. ἔτος τῆς ἡλικίας αὐτοῦ, ἤρξατο τῆς σπουδῆς τῆς ἑβραϊκῆς γλώσσης παρά τινι ἐξ Ἰουδαίων Χριστιανῷ([3]). Μία τῶν παρηγοριῶν αὐτοῦ ἦν τὸ ἐπιστέλλειν τοῖς ἐν τοῖς Δύσει φίλοις αὐτοῦ([4]). Τὰ σχίσματα τῆς Ἐκκλησίας τῆς Ἀντιοχείας παρώρμησαν αὐτὸν συνάψαι σχέσιν τῷ Π. Δαμάσῳ ([5]). Ἀφικόμενος δὲ εἰς Ἀντιόχειαν, ἐχειροτονήθη ἱερεὺς ἐπὶ τῷ ὅρῳ τοῦ μὴ ἀνήκειν εἰς ὡρισμένην τινὰ Ἐκκλησίαν. Ἐκ βαθέος αἰσθήματος ταπεινοφροσύνης καὶ τῆς

([1]) Ep. 22 (18) ad Eustochium. §. 30. Præf. in lib. 3. Comment. ad Galatas.

([2]) Ep. 5. 1. Præfat. in Abdiam. Ἐν τῇ πρὸς Εὐστόχιον ἐπ. (22, 7) περιγράφει μετ' εὐγλωττίας τε καὶ εἰλικρινείας τὴν πρὸς τὰς ἐπιθυμίας τῆς ἀσθενοῦς σαρκὸς πάλην, ἣν ὑπέστη ἐν τῇ ἐρήμῳ· οὐκ ἀποκρύπτει τὴν ἀσθένειαν αὐτοῦ, καὶ ἐγκωμιάζει τὴν δύναμιν τῆς χάριτος.—

([3]) Ep. 95 (125) ad Rusticum monachum. ep. 18 (142 καὶ 143)· Præfat. vers. Daniel. Præfat. in Esaiam. Ἐνταῦθα ἔγραψε τὴν μὴ ἀφικομένην μέχρις ἡμῶν (πρώτην) ἑρμηνείαν εἰς τὸν Ὀβδιού, καὶ μετέφρασεν εἰς τὴν λατιν. γλῶσσαν τὸ πρὸς Ἑβραίους ἑβραϊκὸν Εὐαγγέλιον (de vir illustr. c. 3.), ὡσαύτως ἀπολεσθέν.

([4]) Ep. 5. (6). ad florent. ep. 6. (73. ad Julianum, ep. 7. (43) ad Chromatium, et Eusebium. ep. 10. (21) ad Paulam. Πρὸς τῇ τελευταίᾳ ἐπιστολῇ ἀποστέλλει τὸν βίον Παύλου τοῦ Θηβαίου, ὑπ' αὐτοῦ συγγραφέντα (Chron. ad. an. 359). Ἐκ τῆς ἐρήμου ἐγράφησαν ἐπ' ἴσης αἱ ἐπιστολαὶ 8 (42) ad Nicetum, 9 (44) ad Chrysogonum monachum Aquileae. 11. (39) ad Virgines 12. (45) ad Antonium monachum, 13 36 ad Castorinam 14 (1) ad Heliodorum. —

([5]) Ep. 15 (57), 16 (58).

ὑψηλῆς ἀξίας τῆς ἱερωσύνης, οὐδέποτε μετὰ τὴν χειροτονίαν ἐτέλεσε τὴν ἀναίμακτον θυσίαν(1). Ἐπισκεψάμενος τοὺς ἁγίους τόπους τῆς Παλαιστίνης (2), ἠκροάσατο μετὰ ἐνθουσιασμοῦ ἐν Κωνσταντινουπόλει τῆς ὑψηλῆς διδασκαλίας Γρηγορίου τοῦ Θεολόγου (3). Περὶ τὰ δύο ἔτη διέμεινεν ἐνταῦθα καὶ ἐπέρανε τὴν μετάφρασιν τοῦ χρονικοῦ τοῦ Εὐσεβίου, ἀρξαμένην ἐν τῇ ἐρήμῳ(4)· μετέφρασε τὰς ὁμιλίας τοῦ Ὠριγένους εἰς τὸν Ἰεζεκιὴλ καὶ τὸν Ἱερεμίαν (5). Ἐν τῇ ἀρχῇ τοῦ 382 μετὰ Παυλίνου τοῦ Ἀντιοχείας καὶ Ἐπιφανίου τοῦ Κύπρου ἐπανῆλθεν εἰς Ρώμην (6). Ὁ Π. Δάμασος εἶχεν αὐτὸν παρ' ἑαυτῷ ὡς ἄριστον σύμβουλον ἐν ταῖς ὑποθέσεσι τῆς Ἐκκλησίας (7). Τότε, ἵνα λύσῃ ἀμφιβολίας τινὰς τοῦ Πάπα, ἔγραψε πραγματείας τινὰς περὶ μερικῶν χωρίων τῆς ἁγίας Γραφῆς(8). Προτροπῇ δὲ τοῦ αὐτοῦ Πάπα

(1) Num rogavi te, ἔλεγε τῷ ἐπισκόπῳ, ut ordinares. Si sic presbyterium tribuis, ut monachum nobis non auferas, tu videris de judicio tuo (Lib. contr. Johannem Hierosol. T. 2. p. 451). Ὁ Ἐπιφάνιος ἔγραψε πρὸς τὸν Ἱεροσολύμων Ἰωάννην, ὅτι οἱ πρεσβύτεροι Ἱερώνυμος καὶ Βικέντιος ἐκ πραότητος καὶ ταπεινοφροσύνης οὐ βούλονται προσάγειν τὴν θυσίαν, ἣν ἠδύναντο προσάγειν διὰ τὸ ἀξίωμα αὐτῶν.

(2) Contr. Rufin. lib. 3. §. 22.

(3) Ep. 50 (51) ad Domnionem. ep. 52 (2) ad Nepotianum, lib. I. contra jovinian. l. I. contra Rufinum, §. 13.

(4) Ep. 18. (142). in Daniel. c. 9. Ἐν τῇ ἐπιστολῇ ad Paulum. Concordiensem. γράφει: « Si hoc munusculum (Vita Pauli) placuerit, habemus etiam alia condita, quæ cum plurimis mercibus orientalibus ad te, si Spiritus S. afflaverit, navigabunt.» Ἐν τῇ πρὸς Παμμάχιον ἐπ. γράφει, ὅτι τὸ χρονικὸν μεταφράσθη πρὸ 20 ἐτῶν.

(5) De vir. illustr. c. 135.

(6) Ep. 127. (6), 108 (27) ad Paul., ep. 45. (99) ad Asellam. πρβλ. περὶ Ἐπιφαν. τοῦ Κύπρου.

(7) Eb. 122 ad Augustinum: ante annos plurimos, cum in Chartis ecclesiasticis juvarem Damasum Rom. urbis episcopum, ut Orientis atque Occidentis Synodicis consultasionibus responderem».

(8) Περὶ τοῦ Ὡσαννᾶ ep 20 (145). πρβλ. ep. 19. περὶ τοῦ Ἀσώτου υἱοῦ ep 21. (146), εἰς τρεῖς ἐρωτήσεις περὶ τῆς Π. Δ. ep 36. (125), πρβλ. epist. 35. (124), de viq. illustr. c. 135. Τὴν μετάφρασιν τῶν 2 ὁμιλ. τοῦ Ὠριγέν. εἰς

ἤρξατο μεταφράζειν ἐκ τῆς ἑλληνικῆς γλώσσης εἰς τὴν λατινικὴν τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην. Μόνον δὲ τὴν μετάφρασιν τῆς Καινῆς Διαθήκης ἔφθη ἀναθεὶς τῷ Δαμάσῳ (1). «Οἱ ἐχθροὶ τῆς Ἐκκλησίας εἰσὶν ἐχθροί μου», ἔλεγεν ὁ Ἱερώνυμος καὶ ἔγραφεν ἰσχυροὺς ἐλέγχους κατὰ τῶν ψεγόντων τὴν παρθενίαν (2). Οἵ τε πόνοι καὶ ὁ αὐστηρὸς βίος ἦσαν πληρέστατα ἄξιοι τῆς δόξης ἐκείνης, ἧς ἀπήλαυε τότε ἐν Ρώμῃ. Ὁ θερμὸς ὑπέρμαχος τοῦ παρθενικοῦ βίου ἔτρεφε καὶ ἀνέπτυσσε τὴν πρὸς τὴν μοναδικὴν πολιτείαν ἀγάπην ἐν ταῖς ἐπισήμοις χήραις καὶ παρθένοις τῆς Ρώμης, μετὰ προθυμίας ἀκροωμέναις τῶν προφορικῶν τε καὶ ἐγγράφων αὐτοῦ διδασκαλιῶν (3). «Κατὰ τὴν κρίσιν σχεδὸν ἁπάντων, ἔλεγεν ὁ εἰλικρινὴς Ἱερώνυμος, ἐνομιζόμην ἄξιος τῆς ὑπερτάτης ἱερωσύνης. Ὁ μακαρίας μνήμης Δάμασος τοῖς ἐμοῖς λόγοις ὡμίλει· ἐκαλούμην ἅγιος, ταπεινὸς καὶ εὐεπής» (4). Ἀλλ᾽ ὅμως ὁ φθόνος καὶ ἡ προσβληθεῖσα φιλαυτία ἔτρωσαν τὸν περίδοξον Ἱερώνυμον. Ἐν τοῖς περὶ παρθενίας συγγράμμασιν οὐκ ἐφείσατο τοῦ διεφθαρμένου κλήρου τῆς Ρώμης (5), διὸ διήγειρε καθ᾽ ἑαυτοῦ πολλούς. Ἀποθανόντος τοῦ προ-

τὸ Ἆσμ. τῶν Ἀσμ. πρβλ. ep. 84 (65).

(1) Præfat. in Evangel. novum opus facere me cogis ex veteri, ut post exemplaria Scripturarum toto orbe dispersa, quasi quidem arbiter sedeam, et quia inter se variant, quæ sint illa, quæ cum graeca consentiunt veritate, decernam. Πρβλ. ep. 112 (89) ad Augustin. epist. 27.(102)ad Marcellam. Lib. in exposit. Psalm. lib. 2. codtra Rufin. §. 24. Psalterium, quod certe emendatissimum juxta LXX interpretes, nostro lobore jam dudum Roma suscepit. Praef. in Psalt. ad Paulam.

(2) Lib. contra Helvidium (ἴδ. de vir. illustr. 135. ep. ad Eustochium. §. 22. Epist. 48. ad Pammach. 17), epist de custodia virginitatis ad Eustoch. (ep. ad Pammach. §. 17. de vir. illustr. 135). ἐγράφησαν ἐν Ρώμῃ ἐπὶ τοῦ Δαμάσου.

(3) Περὶ τῆς προτέρας καταστάσεως τῶν παρθένων ἐν Ρώμῃ ἴδ. ep. 127. Περὶ τῆς πρὸς αὐτὴν προσοχῆς ep. 45. ad Asellam.

(4) Ep. 45. (99) ad Asellam.

(5) Περὶ τῆς καταστάσεως τοῦ ρωμ. κλήρου κατὰ τοῦτον τὸν χρόνον ἴδ. Marcel Histor. 27, 34. Θεοδ. κώδ. 6, 20.

στάτου αὐτοῦ Δαμάσου, κατέλιπε κατὰ τὸν Αὔγουστον τοῦ 385 τὴν Βαβυλῶνα, ἵνα ζητήσῃ εἰρήνην ἐν τοῖς ὑπὸ τῶν ποδῶν τοῦ Κυρίου ἁγιασθεῖσι τόποις (1).—

§. 182. Β'.) Πόνοι αὐτοῦ ἐν τῇ Ἀνατολῇ καὶ τελευτή.

Ὁ Ἱερώνυμος ἐπισκεψάμενος κατὰ τὴν ὁδὸν ἀπὸ τῆς Δύσεως εἰς τὴν Ἀνατολὴν τὸν ἅγιον Ἐπιφάνιον ἐν Κύπρῳ καὶ τοὺς ἐν Ἀντιοχείᾳ φίλους, περιῆλθεν ἅπαντας τοὺς ἱεροὺς τόπους τῆς Παλαιστίνης, ἵνα μάθῃ κάλλιον τὴν ἱστορίαν τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων Αὐτοῦ (2). «Αἱ πολιαὶ ἤρξαντο ἤδη κοσμεῖν τὴν κεφαλήν μου, ἔγραφεν ὁ Ἱερώνυμος, καὶ διδάσκαλον μᾶλλον ἢ μαθητὴν ἔδει με εἶναι· μετέβην ὅμως εἰς Ἀλεξάνδρειαν, ἠκροασάμην τοῦ Διδύμου, ἐν πολλοῖς εὐχαριστῶ αὐτῷ· ἔμαθον ὅ,τι ἠγνόουν· ὅ,τι ἐγίνωσκον, ἐκείνου διδάσκοντος, οὐκ ἀπώλεσα» (3). Τοῦτο συνέβη τῷ 386, ὅτε ὁ Ἱερώνυμος ἦγε τὸ 55ον ἔτος τῆς ἡλικίας αὐτοῦ (4). Ἐπανελθὼν ἐξ Αἰγύπτου, ὁριστικῶς διέμεινεν ἐν τῷ στενῷ τῆς Βηθλεὲμ σπηλαίῳ (5). Αἱ δύο μοναί, ὧν ἡ μὲν μία διὰ τοὺς μοναχούς, ἡ δὲ ἑτέρα διὰ τὰς μοναχάς, αἱ ἐγερθεῖσαι δαπάνῃ τῆς εὐσεβοῦς μαθητρίας Παύλας, ἀπήλαυον τῶν διδασκαλιῶν τοῦ Ἱερωνύμου (6), καὶ ἐκτὸς τούτου ἐδίδασκε παιδία (7). Εὑρὼν νῦν τὴν ἠρεμίαν, ἣν ἐπὶ

(1) Πρὸ τῆς ἀναχωρήσεως ἔγραψε πρὸς τὴν Ἀσέλλαν epist. 45. (99): Ora ut de Babylone Hierosolymam regrediar, ne mihi dominetur Nabuchodonosor, sed Jesus filius . . . » Ὀλίγον πρὸ ταύτης ἐγράφησαν αἱ ἐπιστολαὶ ad Marcellam 32 καὶ 34, 74 (41), ad Paulam 30 (135), 39 (25). Περὶ τοῦ χρόνου τῆς εἰς Ἱερουσαλὴμ ἀναχωρήσεως ἴδ. lib. 3. advers. Rufin. §. 22.

(2) Ep. 108. Praefat. in paralipom.

(3) Ep. 84 (65).

(4) Praefat. comment. in Hoseam, ep 50 (51).

(5) Ep. 46 (17) ad Marcellam.

(6) Ep 46 (17) ad Marcellam. epitaph. Paul.

(7) Rufin Invectiva adversus Hieron §. 8. « Ζῶν ἐν τῇ μονῇ τῆς Βηθλεέμ, οὐκ ἐπὶ πολὺ πρὸ τούτου ἐδίδασκεν γραμματικήν, ἡρμήνευε τὸν Μάρωνα αὐτοῦ, κωμικούς, λυρικούς, καὶ ἱστορικοὺς συγγραφεῖς, τοὺς παῖδας, οὓς παρέδωκαν αὐτῷ, ἵνα διδάξῃ αὐτοὺς τὸν φόβον τοῦ Θεοῦ». —

τοσοῦτον χρόνον ἐζήτει, ἐπεδόθη ἔτι μᾶλλον τῇ σπουδῇ τῆς ἁγίας Γραφῆς· πρὸς τελειοποίησιν δὲ τῶν γνώσεων αὐτοῦ ἠκροάσατο τῶν διδασκαλιῶν τοῦ Ραββίνου Βαραββανίνου (ἢ Βαρανίνου), ἐπαιδεύθη παρ᾽ αὐτῷ τὴν ἑβραϊκήν τε καὶ χαλδαϊκὴν γλῶσσαν. «Οἵῳ κόπῳ, οἵα τιμῇ ἔσχον τὸν Βαρανίναν νυκτερινὸν διδάσκαλον! Ἐφοβεῖτο γὰρ τοὺς Ἰουδαίους, καὶ ἐμοὶ ἦν ἕτερος Νικόδημος» (1). Τοὺς καρποὺς τῶν νέων γνώσεων ἐν τῇ Γραφῇ μετεδίδω τὸ πρῶτον διὰ στόματος ταῖς εὐσεβέσιν ἡγουμέναις τῶν γυναικείων μονῶν (2), καὶ διὰ τὸν πρὸς τὸν λόγον τοῦ Θεοῦ ζῆλον τῶν αὐτῶν ἔπειτα ἤρξατο τῆς ἐγγράφου ἑρμηνείας τῆς Καινῆς Διαθήκης. Πρότερον πάντων ἔγραψεν ἑρμηνείαν εἰς τὴν βραχυτάτην τῶν ἐπιστολῶν τοῦ Παύλου — τὴν πρὸς Φιλήμονα (3), ἔπειτα ἠκολούθησαν τὰ ὑπομνήματα εἰς τὰς πρὸς Γαλάτας (4), πρὸς Ἐφεσίους (5), καὶ πρὸς Τῖτον (6). Ἅπασαι αὗται αἱ ἑρμηνεῖαι ὑπηγορεύθησαν μετὰ 15 ἔτη, ἀφ᾽ οὗ χρόνου ἐδηλώθη αὐτῷ δι᾽ ἐνυπνίου ὁ κίνδυνος τοῦ πάθους πρὸς τὰ ἐθνικὰ βιβλία, δηλ. τῷ 389 (7). Ἐν τῷ τέλει τοῦ αὐτοῦ ἔτους καὶ ἐν τῷ ἑπομένῳ ἔγραψε τὸ ὑπόμνημα εἰς τὸν Ἐκ-

(1) 84. (65): «Quo labore, quo pretio Baraninam nocturnum habui praeceptorem! Timebat enim Judeos, et mihi alterum exhibebat Nicodemum».

(2) Epitaph. Paulæ §. 26. πρβλ. exposit. ep. ad Titum S. 9. 10. 2

(3) Praepostero ordine atque perverso epistolae Pauli dictari a me vobis placuit. Nam quum id crebro, et Paula et Eustochium, peteretis, ut facerem, et ego obnixie, ne facerem, recusarem, saltem parvum et quæ vobis ut numero versuum, ita sensu quoque et ordine videbatur extrema, ut discerem coegestis». Initium comm. in epist. ad Philem.

(4) Praefat., «per pauci admodum dies sunt, ex quo eqistolam Pauli ad Philemonem interpretatus, ad Galatas transcenderam».

(5) Praefat., «Et quia jam ad Galatas, orantibus vobis, asile paucos dies, quid nobis videretur, expressimus· nunc ad Ephesios transiundum est, mediam Pauli epistolam ut ordine, ita et sensibus».

(6) Ad v. 10. et. 11. c. 2. et nos ante paucos menses tria volumina in epistolam ad galatas explanationis dictavimus».

(7) Praefat in lib. 3. comment. in ep. ad galat.

κλησιαστήν[1], τὰς ἀποκρίσεις εἰς τὰ ζητήματα περὶ τοῦ βιβλίου τῆς Γενέσεως[2], καί τινας μεταφράσεις ἐκ τοῦ ἑλληνικοῦ[3], πρὸς τοῖς ἄλλοις μετέφρασε τὰς 39 ὁμιλίας τοῦ Ὠριγένους εἰς τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ[4]. Ἐν τῷ σπηλαίῳ τῆς Βηθλεὲμ ἐπέρανεν ὡσαύτως τὸ πόνημα, τὸ ἀρξάμενον ἐν Ρώμῃ, τὴν ἐξέτασιν τῆς λατινικῆς μεταφράσεως τῆς Παλαιᾶς Διαθήκης κατὰ τὸ ἑλληνικὸν κείμενον τῶν τοῦ Ὠριγένους Ἑξαπλῶν, ἅτινα ἀντέγραψεν ἐκ τοῦ ἐν τῇ βιβλιοθήκῃ τῆς Καισαρείας πρωτοτύπου[5].

Κατὰ τὸ τελευταῖον ἔτι ἔτος τῆς ἐν τῇ ἐρήμῳ τῆς Συρίας διαμονῆς αὐτοῦ ὁ μακάριος Ἱερώνυμος ἤρξατο μεταφράζειν τὴν Παλαιὰν Διαθήκην ἐκ τοῦ πρωτοτύπου, ἀλλὰ καὶ μετὰ τὴν ἐξέτασιν τῶν ἑλληνικῶν μεταφράσεων οὐκ ἔσπευσε πρὸς τοῦτο τὸ ἔργον. Τῷ 392 ἐξεδόθησαν πρὸς κοινὴν χρῆσιν ἐν τῇ λατινικῇ μεταφράσει ἐκ τοῦ ἑβραϊκοῦ τὰ βιβλία τῶν βασιλειῶν[6], ἅπαντες οἱ Προφῆται, καὶ τὸ Ψαλτήριον[7]. Τὰ δ' ἄλλα βιβλία

---

(1) De vir. illustr. c. 135. Praefat. in Ecclesiast.

(2) Προὐτίθετο γράψαι ἀποκρίσεις εἰς ἅπασαν τὴν ἁγίαν Γραφὴν τῆς Π. Δ., ἀλλ' ἐπερατώθησαν αἱ σημειώσεις μόνον εἰς τὴν Γένεσιν. Praefat. in libr. quast. (49) in Genes. Ἴδ. de vir. illustr. c. 135.

(3) Τοῦ Εὐσεβίου τὸ περὶ τῶν τοπικῶν ὀνομάτων ἐν τῇ θείᾳ Γραφῇ (Praefat. in h lib.), τοῦ Ὠριγένους τὸ λεξ. τῶν ἑβραϊκῶν ὀνομάτων (Praefat. in lib.), τὸ βιβλίον τοῦ Διδύμου περὶ τοῦ ἁγίου Πνεύματος, ὅπερ ἤρξατο μεταφράζειν ἔτι ἐν Ρώμῃ. Ep. 36. ad Damas., Praef. in lib. Didymi, πρβλ. de vir. illustr. c. 135.

(4) Praef. in homil. ed veronens. t. 7. —

(5) Ep. 71 (28) ad Licinium: «Septuaginta interpretum editionem te habere non dubito et ante annos plurimos diligentissime emendatos meae linguæ studiosis dedi L. 2. adv. Rufin. §. 24. ep. 106 ad Suniam et Fretelam: Septuaginta interpretum, quæ in Ἑξαπλοῖς codicibus reperitur et a nobis in latinum sermonem fideliter versa est..» πρβλ. Praef. in Psalter. ed Veron. T. 10 pag. 105.

(6) Prolog. gal.

(7) Ἴδ. τὰ προλεγόμ. εἰς τὸν Ἡσαΐαν, τὸν Ἱερεμίαν καὶ τὸν Ἰεζεκιήλ, εἰς τοὺς δώδεκα Προφήτας, εἰς

μετεφράσθησαν κατὰ τὰ ἑπόμενα ἔτη, καθ᾽ ὅσον ἐπέτρεπον αἱ ἄλλαι ἐργασίαι (1). Τῷ 392 ἐξεδόθησαν τὰ ὑπομνήματα εἰς τοὺς Προφήτας Ναούμ, Μιχαίαν, Σοφονίαν, Ἀγγαῖον, καὶ Ἀββακούμ (2). Τότε συνεγράφη καὶ τὸ σύγγραμμα *de viris illustribus* (περὶ τῶν ἐνδόξων ἀνδρῶν)(3). Κατὰ δὲ τὰ ἑπόμενα ἔτη διάφοροι ἀνησυχίαι διέκοψαν τὸ προσφιλὲς ἔργον τοῦ μακαρίου Ἱερωνύμου— τὴν περὶ τὴν ἁγίαν Γραφὴν ἐνασχόλησιν. Ὁ Ἰοβινιανὸς καὶ ὁ Οὐϊγιλάντιος ἐτάρασσον τότε τὴν Δύσιν, συζητοῦντες περὶ τῆς σημασίας τοῦ παρθενικοῦ βίου καὶ τῶν ἀγώνων τοῦ μαρτυρίου· ἐν δὲ τῇ Ἀνατολῇ ἠγέρθη ἡ ἀξιοθρήνητος ἔρις περὶ τῶν δοξασιῶν τοῦ Ὠριγένους. Ὁ Ἱερώνυμος ἔγραψε (τῷ 393) μετὰ δριμύτητος βιβλίον κατὰ τοῦ Ἰοβινιανοῦ. Τὸ σύγγραμμα τοῦτο ἐγένετο δεκτὸν ἐν τῇ Δύσει κακῶς (4), καί, κατὰ συμβουλὴν φίλων, ὁ Ἱερώνυμος ἔγραψε (τῷ 394) ἀπολογίαν (5). Ἐν τούτοις τοῦτο ἔδωκεν ἀφορμὴν τῷ Ἱερωνύμῳ γράψαι θαυμασίαν ἐπιστολὴν τῷ Νεπωτιανῷ περὶ τοῦ βίου τοῦ κλήρου καὶ τῶν μοναχῶν (6), καὶ ἄλλα τινὰ συγγράμματα περὶ τῆς

τὸν Δανιήλ. Ἐν τῷ συγγράμματι de vir. illustr, c. 134. γράφει περὶ τοῦ Σωφρονίου: «in græcum eleganti sermone transtulit Psalterium et Prophetas, quos nos de hebræo in latinum vertimus». Ep. 49 (59) ad Pammach. (ἐγράφη τῷ 395): «Libros sedecim Prophetarum in latinum ex hebraeo sermone versi. . . transtuli nuper Iob in linguam nostram».

(1) Ἴδ. σελ. 507. σημ. 1.

(2) Paæf. lib. in Amos πρβλ. de vir. illustr. cap. posterius.

(3) Ὁ χρόνος καθ᾽ ὃν συνεγράφη, δείκνυται ἐν αὐτῷ τῷ συγγράμματι (c. 152): ad praesentem annum i. e. Theodosii principis decimum quartum (τῷ 392) haec scripsi. Ὁ αὐτὸς χρόνος δείκνυται ἐν τῷ προλόγῳ τοῦ συγγράμματος.

(4) Lib. 2. adv. Iovinianum. Op. T. 2. Καὶ αὐτοὺς τοὺς φίλους τοῦ Ἱερωνύμου ἐτάραξαν χωρία τινὰ τούτου τοῦ βιβλίου (ep. 50. ad Domnionem). Ὁ Παμμάχιος ἐπειράθη ἐξαφανίσαι τὰ ἀντίτυπα αὐτοῦ, ἀλλὰ τὸ βιβλίον διεδόθη ταχέως καὶ πόρρω. De opusculis meis contra Iovinianum, quod et prudenter et amanter faceris, exemplaria substrahendo, optime novi. Sed nihil profuit ista diligentia». Πρβλ. σημ. 64.

(5) Epist. 48, 50.

(6) Ep. 52. ad. Nepot. Τῷ 395 παρεμυθήσατο τὸν ἐπίσκοπον Ἡλιόδωρον, λυπηθέντα ἐπὶ τῷ θανάτῳ τοῦ Νεπωτιανοῦ. πρβλ. σημ. 64.

αὐτῆς ὑποθέσεως (1), Ὁ ὑπέρμετρος αὐτοῦ ζῆλος παρέσχεν αὐτῷ νέας ἔτι δυσαρεστήσεις. Ὁ ἁπλοϊκὸς ποιμὴν τῆς Κύπρου Ἐπιφάνιος (τῷ 394) ἔγραψεν ἐκ τῆς μονῆς τοῦ Ἱερωνύμου τραχεῖαν ἐπιστολὴν πρὸς τὸν ἐπίσκοπον Ἱεροσολύμων Ἰωάννην, αἰτῶν παρ' αὐτοῦ καταδικάσαι τὸν Ὠριγένην (2). Ὁ Ἱερώνυμος ἔσπευσεν ἀποστεῖλαι εἰς τὴν Δύσιν μετάφρασιν τῆς ἐπιστολῆς ταύτης, ἐν ᾗ ἐγίγνετο λόγος καὶ κατὰ τοῦ φίλου αὐτοῦ Ρουφίνου. Οἱ δυσμενῶς ἔχοντες πρὸς αὐτόν, ὧν οὐκ ὀλίγοι ἦσαν ἐν τῇ Δύσει, ἀνήγγειλαν τῷ Ρουφίνῳ περὶ τῆς ἐπιστολῆς ταύτης, καὶ ἐμέμφοντο τῷ Ἱερωνύμῳ τὴν ἀπιστίαν πρὸς τὸν Ρουφῖνον καὶ τὸ μὴ ἀκριβὲς τῆς μεταφράσεως. Ὁ Ἱερώνυμος ἐπέστειλε τῷ Παμμαχίῳ περὶ τῆς ἀρίστης μεθόδου τοῦ μεταφράζειν. Καὶ ὁ Ρουφῖνος καὶ ὁ Ἱεροσολύμων ἐπίσκοπος πάνυ ἠδικήθησαν ὑπὸ τοῦ Ἱερωνύμου. Πρὸ τῆς ἀναχωρήσεως τοῦ Ρουφίνου εἰς τὴν Δύσιν οἱ πρότερον φίλοι διηλλάγησαν ἐν τῷ ναῷ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ (3). Ἀλλὰ τοῦτο οὐ διήρκεσεν ἐπὶ πολύ. Ὁ Ρουφῖνος μετέφρασε, κατ' αἴτησιν τινῶν, τὸ περὶ Ἀρχῶν σύγγραμμα τοῦ Ὠριγένους, καὶ ἐν τῷ προλόγῳ ἐποιήσατο μνείαν περὶ τοῦ πρὸς τὸν Ὠριγένην σεβασμοῦ τοῦ Ἱερωνύμου. Ἀμφότεροι ἔγραψαν μετὰ πολλῆς τῆς πικρίας κατ' ἀλλήλων. Ὁ Ἱερώνυμος ἠβούλετο ἐνεργεῖν ἐκ ζήλου κατὰ τῶν τολμηρῶν δοξασιῶν (4), ἀλλ' οὐ περιωρίζετο ἐν τοῖς ὁρίοις τοῦ μετρίου, ἀποκαλῶν

(1) Κατὰ τὸν χρόνον τοῦτον ἐγράφησαν αἱ ἐπιστολαί: ad Paulinum ep. 53. (τῷ 394) de studio Scripturarum, 58 (τῷ 395), 85 (τῷ 400) ἐν μέρει περὶ τοῦ ὠριγενισμοῦ· ἡ ἐπιστ. ad Furiam, de viduitate servanda,—ad Amandum 55. Ἔπειτα μετεφράσθησαν: τὸ βιβλίον τοῦ Ἔσδρα κατ' αἴτησιν τοῦ Δομνίωνος [ὅτε (τῷ 393) ἐγράφη ἡ ἐπιστολὴ ad Pammachium (94, 4), οὔπω ἦν ἡ μετάφρασις αὕτη], καὶ τῆς Γενέσεως διὰ τὸν Δεσιδέριον.—

(2) Ep. 53 (103) ad Paulinum contr. Vigilantium. chron. Marcel. ad an 394.

(3) Ep. 74. ad Rufin. Apolog. contr. Rufin. lib. III. c. 33. Rufin. invectiv. l. 2. c. 37.

(4) Contr. Rufin. «vis ergo me tacere? Ne accuses, depone glatium et ego scutum abjiciam. In uno tibi consentire non potero, ut parcam haereticis, ut me catholicum non probem· sit inter nos una fides et statim pax sequetur».—

νῦν κάκιστον αἱρετικὸν τὸν Ὠριγένην, ὃν πρότερον ὠνόμαζε πρῶτον μετὰ τοὺς Ἀποστόλους διδάσκαλον τῆς Ἐκκλησίας. Ὁ Ρουφῖνος οὐ συγχέων τὰς ψευδεῖς ἰδέας ταῖς ὀρθαῖς, ὑπερήσπιζε μετὰ πολλῆς τῆς ἐπιμονῆς τὸν Ὠριγένην, καὶ ἐδείκνυ, ὅτι, οὐ πᾶσαι αἱ ἐσφαλμέναι δοξασίαι αἱ ἀποδιδόμεναι τῷ Ὠριγένει, ἀνήκουσιν εἰς αὐτόν (¹). Αἱ κατ' ἀλλήλων προσωπικαὶ ἀντεγκλήσεις ἦσαν ἔτι μᾶλλον ἄδικοι. «Quis denique amicus, ἔγραφεν ὁ ἱερὸς Αὐγουστῖνος πρὸς τὸν Ἱερώνυμον, non formidetur, quasi futurus inimicus, si potuit inter Hieronymum et Rufinum hoc, quod plangimus, exoriri? O misera et miseranda conditio! O infida in voluntatibus amicorum scientia praesentium, ubi nulla est praescientia futurorum! Sed quid hoc alteri de altero gementum putem, quanto ne ipse quidem sibi homo est notus in posterum? . . . Heu mihi, qui vos simul alicubi invenire non possum: forte ut moveor, ut doleo, ut timeo, procederem ad pedes vestros, flerem quantum valerem, rogarem quantum amarem. Nunc unumquemque vestram proseipso, nunc utrumque pro alterutro, et pro aliis ac maxime infirmis, pro quibus Christus mortuus est . . . . » (²). Ὁ Ἱερώνυμος ὡμολόγησε τὴν ἀνθρωπίνην αὐτοῦ ἀσθένειαν, λαβὼν μέρος ἐν τῇ ἔριδι τοῦ Ἐπιφανίου πρὸς τὸν ἐπίσκοπον Ἰωάννην περὶ τοῦ Ὠριγενισμοῦ (399—404), ἀλλ' ὁριστικῶς ἠρνήσατο μετασχεῖν τῶν κατὰ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου ῥαδιουργιῶν τοῦ Θεοφίλου, ἐφ' αἷς λίαν ἐλυπεῖτο (³).

(¹) Τοῦτο δείκνυσι καὶ ἡ μετάφρασις τῶν συγγραμμάτων τοῦ Ὠριγένους καὶ ἡ περὶ τῆς πίστεως αὐτοῦ ἀπόκρισις εἰς τὸν Ἀναστάσιον. Invect. Rufin. in Hieron I. 2. Τῇ περὶ πίστεως ἀποκρίσει ἠκολούθησαν τὰ δύο βιβλία τοῦ Ἱερωνύμου κατὰ τοῦ Ρουφίνου δέκα ἔτη (lib. 2. §. 23) μετὰ τὸ περὶ τῶν ἐνδόξων ἀνδρῶν σύγγραμμα, δηλ. τῷ 402. Τὸ τρίτον βιβλίον ἐγράφη ὀλίγῳ βραδύτερον εἰς ἀπάντησιν τῆς δριμείας ἐπιστολῆς τοῦ Ρουφίνου, ἀπειλήσαντος παραδοῦναι τὴν ὑπόθεσιν τῷ πολιτικῷ δικαστηρίῳ.

(²) Augustin. epist. 73.

(³) Γνωστόν, ὅτι ὁ Ἱερώνυμος εἶχε πάνυ οἰκείως πρὸς τὸν Θεόφιλον διὰ τὸ περὶ τῶν Ὠριγενιστῶν ζήτημα, ἐπῄνει αὐτὸν διὰ τὰς κατ' αὐτῶν ἐνεργείας αὐτοῦ, ἡγούμενος ὁρᾶν ἐν αὐτῷ εἰλικρινῆ πρὸς τὴν πίστιν ζῆλον, καὶ μετέφραζε τὰς ἐπιστολὰς αὐτοῦ (ep. Hieron. 86-109). Τῷ 399 ἔγραφε κατὰ τοῦ ἐπισκόπου τῶν Ἱεροσολύ-

Αἱ περὶ τὴν ἁγίαν Γραφὴν ἀσχολίαι, αἱ διακοπεῖσαι ὑπὸ τῶν θορυβωδῶν συμβεβηκότων, ἀνενεώθησαν ὑπὸ τοῦ Ἱερωνύμου ἐν τῇ ἀρχῇ τοῦ 396. Τότε ἐγράφη τὸ ὑπόμνημα εἰς τὸν προφήτην Ἰωμων Ἰωάννου πρὸς τὸν Παμμάχιον (§. 41. δεκατρία ἔτη μετὰ τὴν ἐξ Ἀντιοχείας ἀναχώρησιν καὶ δέκα μετὰ τὸ εἰς τὸν Ἐκκλησιαστὴν ὑπόμνημα. §. 17)· κατὰ τὸ αὐτὸ ἔτος διήλλαξεν αὐτὸν ὁ Θεόφιλος πρὸς τὸν Ἰωάννην τῶν Ἱεροσολ. (ep. 82. ad Theophil.)Ὅτε δὲ ὁ ἱεράρχης τῆς Κ]πόλεως ἐξωρίσθη τὸ δεύτερον, ὁ Ἱερώνυμος ἠρνήσατο μεταφράσαι τὴν τοῦ ἔτους ἐκείνου πασχάλιον ἐπιστολὴν τοῦ Θεοφίλου, καὶ ἔγραφεν αὐτῷ περὶ τῆς ἑαυτοῦ καταστάσεως οὕτω : « Usque in praesentem diem et moerore luctus et sollicitudine de diversis super statum Ecclesiæ hinc inde rumoribus exagitatus sum. ed. Martin. T. 4. p. 728. ed veron. T. I. p. 751. Τῷ 406 ἔγραψε περὶ τοῦ Χρυσοστόμου πρὸς τὸν Αὐγουστῖνον : Quid dicam de Ioanne, qui dudun in pontificali gradu Constantinopolitanam ecclesiam rexit et proprie super hoc capitulo (περὶ τοῦ ἐλέγχου τοῦ Πέτρου ὑπὸ τοῦ Παύλου) latissimum exaravit librum, in quo Origenis et veterum sententiam est secutus? Si igitur me reprehendis errantem patere me, quaeso, errare cum talibus. [ep. 112. (89).] Εἰς μάτην τοίνυν ὁ Μαρτιάναϋ ἥνωσε τὸ τεμάχιον τῆς ἐπιστολῆς (T. 4. p. 727.) τῇ πρὸς τὸν Θεόφιλον ἐπ. τοῦ Ἱερωνύμου. Ταῖς διαθέσεσιν, ἐν αἷς ἔγραψεν ὁ Ἱερώνυμος τὰς πρὸς Θεόφιλον καὶ Αὐγουστῖνον ἐπιστολάς, οὐ συνᾴδουσιν αἱ λέξεις cecidit, cecidit Babylon,— καὶ ἐκεῖνο ὅπερ ἔλεγεν ἂν (κατὰ τὴν ἔκδοσιν τοῦ Μαρτιάναϋ) ἐν τῷ τέλει τῆς ἐπιστολῆς πρὸς τὸν Θεόφιλον, ἀντέφασκεν ἂν τῇ ἀρχῇ αὐτῆς. Αὐτὸς ὁ Μαρτιάναϋ οὐκ ἀμφιβάλλει, ὅτι ἐν τῇ ἐπιστολῇ τοῦ Ἱερωνύμου, (κατὰ τὴν ἔκδοσιν αὐτοῦ) ὑπάρχει χάσμα. Αὐτὸς ὁ τόνος τῶν πρώτων λέξεων δείκνυσιν, ὅτι γράφει ἄνθρωπος, ἔχων ἀνάγκην ἀπολογηθῆναι ἐπὶ ταῖς κατὰ τοῦ Χρυσοστόμου ἐνεργείαις αὐτοῦ. Ἐπὶ τίνι δ' ὤφειλεν ὁ Ἱερώνυμος ἀπολογήσασθαι ὡς πρὸς τὸν Χρυσόστομον ; Πρόδηλον, ὅτι τοῦτο γράφει ἐκεῖνος, ὅστις ἐν τῷ δευτέρῳ κατὰ τοῦ Χρυσοστόμου συνεδρίῳ οὐδ' ἀφικέσθαι εἰς τὴν Κωνσταντινούπολιν ἐτόλμησεν. Ὁ ἀμαθὴς ἀντιγραφεὺς ἠγνόει γράψαι καὶ αὐτὴν τὴν ἐπιγραφὴν τῆς πρὸς τὸν Θεόφιλον ἐπιστολῆς τοῦ Ἱερωνύμου, καὶ συνέμιξε μιᾷ ἐπιστολῇ τὰς ἐπιστολὰς διαφόρων προσώπων (τὴν τοῦ Θεοφίλου πρὸς τὸν Ἱερώνυμον καὶ τὴν τοῦ τελευταίου πρὸς τὸν πρῶτον). Ἴδ. τὴν βερωναίαν ἔκδοσιν τῶν συγγραμμάτων τοῦ Ἱερωνύμου, ἔνθα ἀπεδόθη ἑκάστῳ τὸ ἑαυτοῦ. T. I. pag. 750.

ν ᾶ ν, καὶ ἐτελέσθη τὸ ε ἰ ς τ ὸ ν Ἀ β δ ι ο ῦ (1). Ἡ Δύσις, πτωχὴ οὖσα ἰθαγενῶν κηρύκων τοῦ Εὐαγγελίου, ἐδίψη καὶ ἐπιμόνως ᾔτει παρὰ τοῦ Ἱερωνύμου καὶ μεταφράσεις τῶν Ἑλλήνων διδασκάλων καὶ συγγράμματα αὐτοῦ τούτου. Ἓξ ἀντιγραφεῖς ἐπέμφθησαν ἐξ Ἱσπανίας πρὸς τὸν Ἱερώνυμον, ἵνα ἀντιγράφωσι τὰ πονήματα αὐτοῦ· καὶ ὁ ἐπίσκοπος τῆς ἰταλικῆς πόλεως Κρεμώνης ἐν αὐτῇ τῇ μονῇ τοῦ Ἱερωνύμου περιέμενε τὸ εἰς τὸ Εὐαγγέλιον τοῦ Μ α τ θ α ί ο υ ὑ π ό μ ν η μ α αὐτοῦ. Μόλις ἐπέρανε τὴν ἀναθεώρησιν τῶν ὑπὸ τῶν Ἱσπανῶν γραφέων ἀντιγραφέντων καὶ ἤρξατο ὑπαγορεύειν καὶ ἐτέλεσεν ἐν δυσὶν ἑβδομάσι τὸ ὑπόμνημα. Τοῦτο ἐγένετο κατὰ τὴν μεγάλην τεσσαρακοστὴν τοῦ 397 (2). Πρὸς ταῖς πολλαῖς ἐπιστολαῖς ταῖς γραφείσαις

(1) Praefat. in Ionam· Triennium circiter fluxit, postquam quinque Pophetas interpretatus sum. . . et alio opere detentus, non potui implere, quod coeperam. Scripsi enim librum de viris illustribus et adversus Jovinianum duo volumina, Apologeticum quoque et de optimo interpretandi genere ad Pammachium et ad Nepotianum vel de Nepotiano libros duos et alia, quæ enumerare longum est. Ἴδ. Praefat. in Abdiam.

(2) Praefat. in Math. « At tu in duobus hebdomadibus, imminente jam Pascha et spirantibus ventis, dictare me cogis, ut quando notarii excipiant, quando scribantur schedulae, quando emendentur, minime cogites ; maxime quum scias, me ita tribus mensibus languisse, ut vix nunc ingredi incipiam». Ep. 75. (29) ad Theodoram Lucinii viduam : quum ille (Lucinius) desiderio opuscula nostra flagitavit et missis sex notariis describi sibi fecit, quaecumque ab adolescentia usque praesens tempus dictavimus. Ἐν τῇ πρὸς τὸν αὐτὸν Λυκίνιον ἐπιστολῇ εἰπών, ὅτι μάτην αἰτεῖ παρ' αὐτοῦ τὰς μεταφράσεις τοῦ Φλαυΐου, τοῦ Παπίου, καὶ τοῦ Πολυκάρπου, οὓς οὐ μετέφρασε, καὶ ὅτι μετέφρασε μόνον συγγράμματά τινα τοῦ Ὠ ρ ι γ έ ν ο υ ς καὶ Δ ι δ ύ μ ο υ, προστίθησι: « canonem hebraicae veritatis, excepto octateucho, quem nunc in manibus habeo, pueris tuis et notariis tuis dedi describendum. Opuscula mea, quae non sui merito, sed tua bonitate desiderare dicis, ad describendum hominibus tuis dedi et descripta vidi in chartaceis codicibus ac frequenter admonui, ut conferrent diligentius et emendarent, ego enim tanta volumina, præ fraequentia comme-

πρὸς τοὺς ἐν τῇ Δύσει, ἐπέρανε τῷ 406 τὰ εἰς τὰ λοιπὰ προφητικὰ βιβλία ὑπομνήματα, ἅτινα μετὰ σπουδῆς ὡσαύτως ἐζήτησαν οἱ ἐν τῇ Δύσει (1). Κατὰ τὸ αὐτὸ ἔτος, αἰτήσει ὡσαύτως τῆς Δύσεως, ἐγράφη ἡ κατὰ τοῦ βιβλίου τοῦ Οὐϊγιλαντίου ἀνασκευή (2). Ὁτὲ μὲν ἔλεγχοι, ὁτὲ δὲ διδασκαλίαι, καὶ ἄλλοτε ἐξηγήσεις τῆς ἐννοίας τῶν θεοπνεύστων βιβλίων ποταμηδὸν ἔρρεον ἐκ τοῦ καλάμου τοῦ Ἱερωνύμου εἰς τὴν Δύσιν.

Αἱ συμφοραὶ τῆς Δύσεως, δεινῶς παθούσης (ἀπὸ τοῦ 408—409) ὑπὸ τῶν ἀγρίων πορθητῶν, κατελύπησαν τὸν μακάριον γέροντα, καὶ γράφων τὴν εἰς τοὺς μεγάλους Προφήτας ἑρμηνείαν, ὁτὲ μὲν κατελίμπανε τὴν ἐργασίαν ταύτην, ὁτὲ δέ, ἐκ νέου ἀρχόμενος, ἔγραφεν ἐν τῷ αὐτῷ συγγράμματι ἰσχυρὰς προτροπὰς τῇ Δύσει περὶ μετανοίας(3). Πλήθη ἀνεστίων ἀφίκοντο τῷ 410 εἰς τὴν Ἀνατολήν, καὶ ὁ Ἱερώνυμος μετὰ πάσης ἀγάπης ἐδέχετο ἐν ταῖς μοναῖς αὐτοῦ τοὺς ἀτυχεῖς ξένους, οὓς ἔτρεφεν, καὶ ἐνέδυεν, ὅση αὐτῷ δύναμις (4).

---

antium et peregrinorum turbis, relegere non potuit, et ut ipsi probavere præsentes, longe tentus in commodo vix diebus quadragesissimæ, quibus ipsi proficiscebantur, respirare coepi». Ep. 73 ad Evangelum: « Ego post longam ægrotationem vix in quadragesimæ diebus febri carere potui, et quum me operi præpararem, paucos dies, qui supererant, in Mathæi expositione consumi. Τῷ 391 ἐγράφησαν αἱ ἐπιστολαὶ 65—70.

(1) Ἴδ. Præfat. in lib. 3. in Amos. Τῷ 398 ἦν καθ' ἅπαν τὸ ἔτος ἀσθενής, καὶ ἐν τῇ ἀσθενείᾳ ἔγραψε τὰς ἐπιστολὰς 71—74. Τῷ 403 ἐγράφη ἡ ἐπιστολὴ 106 ad Sunniam et Fretelam· τῷ 404 ἡ ἐπ. 108. ad Eustochium. Τὸ Epitaphium Paulæ ἐστι σπουδαῖον κατ' ἐξοχὴν διὰ τὴν ἱστορίαν αὐτοῦ τοῦ Ἱερωνύμου.

(2) Contr. Vigilant. §. 3. Epist. 109. (53) ad Riparium.—

(3) Εἰς τοὺς μεγάλους Προφήτας ἐγράφησαν ὑπομνήματα: εἰς τὸν Δανιὴλ τῷ 407, εἰς τὸν Ἡσαΐαν τῷ 409 (ἴδ. Praef. in Esaiam)· τὸ ὑπόμνημα εἰς τὸν Ἰεζεκιὴλ ἀρξάμενον τῷ 410, καὶ διακοπὲν ὑπὸ τῆς ἐπὶ ταῖς συμφοραῖς τῆς Δύσεως καταλαβούσης αὐτὸν θλίψεως, ἐπανελήφθη τῷ 412 καὶ ἐπερατώθη τῷ 413. Τὸ εἰς τὸν Ἱερεμίαν ὑπόμνημα ἐγράφη τῷ 315. Αἱ παραινέσεις πρὸς μετάνοιαν ἰδίως in Praefat l. 8. in Ezechielem. Περὶ τῆς Ῥώμης ἴδ. Pagium ad an. 409. Hieron. Ep. 123 (11) ad Ageruchiam. §. 17. Epist. 128 (12) ad Gaudentium. Epist. 125 (4) ad Rusticum monachum.—

(4) Praefat. l. III. in Ezechielem.

Τῷ 416 ὁ μακάριος γέρων ἔπαθε μετὰ τῶν τέκνων καὶ μαθητῶν αὐτοῦ. Οἱ Πελαγιανοὶ ἐξέβαλον αὐτὸν τῆς μονῆς (1). Ἐπανελθὼν δὲ εἰς αὐτὴν τῷ 418, ἐτελεύτησε τῷ 419, ἄγων τὸ 89 ἔτος τῆς ἡλικίας αὐτοῦ (2).

§. 183. Ὁ Ἱερώνυμος γόνιμος συγγραφεύς. Ι. Ἑρμηνευτὴς τῆς ἁγίας Γραφῆς· Α΄.) Μεταφραστής· ἐπιδιόρθωσις τοῦ λατινικοῦ κειμένου τῆς ἁγίας Γραφῆς κατὰ τὰ ἑλληνικὰ ἀπόγραφα.

«Πορεύσομαι εἰς τὸν θησαυρὸν τοῦ ἁγίου Ἱερωνύμου, καίπερ πτωχοῦ τῷ πνεύματι, ὡς νομοδιδασκάλου, τὴν πτωχείαν ὁμωμοκότος φυλάττειν, ἀλλὰ τὴν πνευματικὴν περιουσίαν οὐ πτωχοῦ, καὶ ὡς οὐχὶ τοῦ τελευταίου ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ διδασκάλου», οὕτως ἔλεγεν ὁ Ροστοβίου ἱεράρχης Δημήτριος, ἀναφέρων ἓν τῶν συγγραμμάτων τοῦ ἁγίου Ἱερωνύμου (3). Ἡλίκος δὲ ὁ ἀριθμὸς τῶν συγγραμμάτων τοῦ Ἱερωνύμου! Οὐ πιεζόμενος ὑπὸ δημοσίου ὑπουργήματος, ἠδύνατο ἀσχολεῖσθαι ἐν ἀνέσει περὶ τὴν συγγραφὴν πολλῶν συγγραμμάτων. Καὶ ὅμως πολλῶν δυνάμεων ἦν χρεία

(1) Ep. 78 ad Paulin. August. de gestis Pelagianis, ep. 35.

(2) Vita S. Hieronymi (ap. Martinaeum:) dormivit autem beatus Hieronymus anno imperii Theodosii junioris 12(419). Omnes autem anni vitæ ejus sic colliguntur. Ordinatus est Romæ Præsbyter annorum viginti novem, annis tribus vixit apud Bethleem, in proposito suo annis quinquaginta et mensibus sex. Omne vitæ suae tempus implevit 88 annis et mensibus 6. Dormivit in Domino pridie Kalendas Octobris. Τὸ αὐτὸ ἔτος τοῦ θανάτου δείκνυται καὶ ἐν ἄλλῃ βραχείᾳ βιογραφίᾳ. Ὁ Πρόσπερος λέγει ἐν τῷ χρονικῷ αὐτοῦ, ὅτι συνέβη τῷ 420, ἀλλ' οὗτος οὐκ ἔστιν ἀκριβὴς καὶ ἐν ἄλλαις περιστάσεσιν. Ἡ μνήμη τοῦ ὁσίου Ἱερωνύμου τοῦ ἐκ Στριδῶνος ἐν τοῖς χειρογρ. ἑλλην. Μηναίοις, ἐν τῷ Συναξαριστῇ, καὶ ἐν τῇ νεωτέρᾳ τῶν Μηναίων ἐκδόσει τάσσεται τῇ ιέ. Ἰουνίου· τὰ δὲ ρωμαϊκὰ μαρτυρολόγια τάσσουσιν αὐτὴν Σεπτεμβρίου 30. Ἡ ἑλληνικὴ Ἐκκλησία τιμᾷ τὸν ὅσιον Ἱερώνυμον ἔτι ἐν τῷ Σαββάτῳ τῆς Τυρινῆς (Τριῳδ. καν. ᾠδ. θ΄.).

(3) Λόγ. εἰς τὴν ἁγ. Τριάδ. Τ. 2. σελ. 282.

πρὸςτὸ συγγράψαι τόσον πολλά, ὅσα συνέγραψεν ὁ Ἱερώνυμος. Καὶ ὄντως οὐκ ἦν πτωχὸς τῷ πνεύματι. «Τὰ συγγράμματα αὐτοῦ, λέγει ὁ ὅσιος Ἰωάννης ὁ Κασσιανός, σελαγίζουσιν ἀνὰ πάντα τὸν κόσμον ὡς θεῖαι λαμπάδες. . . . ἐγένετο ἀνὴρ εὐρυτάτης παιδείας καὶ δεδοκιμασμένης καὶ καθαρᾶς διδασκαλίας, διδάσκαλος τῶν ὀρθοδόξων»(1). Ὁ Ἱερώνυμος ἔγραψε μεταφράσεις, ὑπομνήματα, πραγματείας, ἐπιστολάς, βιβλία, περιγραφάς, (2). Κατὰ τὸ περιεχόμενον τὰ σοφὰ αὐτοῦ πονήματα δύνανται ἀνενεχθῆναι εἰς τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς, εἰς τὴν περὶ πίστεως διδασκαλίαν εἰς τὴν πρὸς τὴν εὐσέβειαν οἰκοδομήν, καὶ εἰς τὴν ἱστορίαν. Καὶ ἐν ἅπασι τούτοις δείκνυται ἔτι κριτικός.

Ὁ μακάριος Ἱερώνυμος, ὡς μεταφραστὴς τῆς ἁγίας Γραφῆς, ἕλκει ἐφ᾽ ἑαυτὸν κατ᾽ ἐξοχὴν τὴν προσοχήν. Τῷ λατινικῷ κειμένῳ τῆς ἁγίας Γραφῆς συνέβη πρὸ τοῦ Ἱερωνύμου τὸ αὐτό, ὅπερ καὶ τῷ ἑλληνικῷ· δηλονότι ἐκ τῶν ἀπογράφων τῶν ἀντιγραφέων διαφόρων χωρῶν καὶ διαφόρου παιδείας τοσοῦτον ἠλλοιώθη τὸ ἱερὸν κείμενον, ὥστε, ὡς λέγει ὁ Ἱερώνυμος, ὅσα ἀπόγραφα, τοσοῦτοι κώδηκες (3). Ἠπόρησεν ἄν τις, ὅτι ἐν οὕτω βραχεῖ χρόνῳ ἀνεφύησαν τοσαῦται διαφοραί, ἀναλογιζόμενος, ὅτι ἡ λατινικὴ μετάφρασις τῆς ἁγίας Γραφῆς ἐφάνη οὐχὶ ἐνωρίτερον τοῦ β΄. αἰῶνος. Καὶ ὅμως τοῦτο εἶχεν οὕτω. Τοιαύτη ἦν ἡ ἐν τῇ Δύσει παιδεία! Οἱ μεταφρασταί, μετὰ δὲ τούτους οἱ ἀντιγραφεῖς τῆς Δύσεως, κατὰ τὴν ἐμφάνισιν τῶν κριτικῶν ἐκδόσεων τοῦ Ὠριγένους καὶ τοῦ Λουκιανοῦ ἐδημιούργησαν ἐκ τούτων τῶν δύο ἐκδόσεων τὸ μὲν πρῶτον μέχρι τῶν δέκα νέων, ἄλλοι δὲ ἔπειτα ἐκ τῶν δέκα ἑκατόν(4). Ὁ μακάριος Ἱερώνυμος πρὸ

(1) Lib. VII. de Incarnatione.

(2) Πλήρεις ἐκδόσεις τῶν συγγραμμάτων: Studio Monach. Or. Ben. Pouget et *Martianay*, Paris. 1693—706. vol. V. f. denuo castig. aucta, illustr. stud. D. *Vallarsii* et Maffaei Veronæ 1734-41. XI. f. stud. *Migne*, Paris 1845. T. 1-11.

(3) Praef. in Evangel. Τὸ αὐτὸ λέγει ὁ Αὐγουστῖνος: « Quæ (latina versio) in diversis codicibus ita varia est, ut tolerari vix possit, et ita suspecta, ne in graeco aliud inveniatur, ut inde aliquid proferri aut probari dubitetur». Ep. 88 ad Hieron. —

(4) August. Ep. 97 ad Hieron., « ideo autem desidero interpreta-

πάντων κατέφυγεν εἰς τὸ ἑλληνικὸν κείμενον, καὶ διότι ἡ πρώτη μετάφρασις ἡ οὕτω καλουμένη Ἰτάλα, πρὸς τῇ κατὰ γράμμα προσεγγίσει αὐτῆς τῷ ἑλληνικῷ κειμένῳ, ἦν πάνυ ἀκατάληπτος, γραμματικῶς οὐκ ὀρθή, καὶ ἀρκούντως ἀνεξέργαστος. Τοῦτο καὶ νῦν ἐστὶν ἰδεῖν ἐν τοῖς λειψάνοις τῆς μεταφράσεως ταύτης τοῖς ἐν τοῖς ἀπογράφοις αὐτῆς(1), καὶ ἐν τοῖς συγγράμμασι τῶν πρὸ τοῦ Ἱερωνύμου διδασκάλων τῆς λατινικῆς Ἐκκλησίας διασωθεῖσι. Ἅπασα ἡ Καινὴ Διαθήκη μετεφράσθη ἐκ νέου ὑπὸ τοῦ Ἱερωνύμου. Ἐν τῇ ἐπιδιορθώσει τῆς μεταφράσεως τῆς Παλαιᾶς Διαθήκης οὐχ ὑπέστη οὕτω πολλοὺς κόπους, ὡς ἐν τῇ τῆς Καινῆς. Ἐν τῇ πρώτῃ περιστάσει τὸν κόπον

---

tionem tuam de LXX, ut tanta *latinorum interpretum*, qui qualescunque hoc ausi sunt, quantum possumus, *imperitia* caveamus. πρβλ. de doctr. Christ. 2, 11. 15.

(1) Ὁ Φλέκκος ἐν τῇ κατὰ τὴν Εὐρώπην ὁδοιπορίᾳ αὐτοῦ εὗρε τεμάχια τοῦ Εὐαγγελίου τοῦ Μάρκου καὶ τοῦ Ματθαίου — τῆς Ἰτάλας ἐν χειρογράφῳ τοῦ πέμπτου αἰῶνος ἀνήκοντι εἰς τὴν Μονὴν τοῦ Βοβίου (Bobium Boium), νῦν δὲ φυλασσομένου ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ τοῦ Τουρίνου. Ὁ Φλέκκος ἐξέδωκε πρὸς σύγκρισιν τήν τε ὑπ' αὐτοῦ εὑρεθεῖσαν ἀρχαίαν μετάφρασιν καὶ τὴν νέαν. Wissenschaftliche Reise durch Italien, Sicilien, und Franckreich 2. B. 3. Abth. Leips. 1837. Ὁ Αὐγουστῖνος ἔλεγε περὶ τῶν μεταφραστῶν: verborum tenaces cum perspicuitate sententiae. Ἀληθές, ὅτι ἡ ἔννοιά ἐστι σαφὴς ἐν ταύτῃ τῇ μεταφράσει, ἀλλὰ μόνον τῷ εἰδήμονι τῆς ἑλληνικῆς γλώσσης. Ἄλλως σαφεῖς π. χ. εἰσὶν αἱ ἑξῆς λέξεις : Evangelium cata Mathaeum. Diliges proximum tibi et odibis inimicum tibi. Omne regnum divisitum adversus se deseritur et omnis civitas aut domus dimissa adversus se non stabit(?) Σφάλματα ὑπάρχουσι κατὰ πᾶσαν σχεδὸν γραμμήν, καὶ ἐνιαχοῦ οὐδεμία ἔννοια. Quod enim proderit homini, si lucre fecerit totum mundum deprimentum(?) et (?) animam suam ... inservit eos in mentem; aleum (?). Solus cum solis et commutata est sicura(?) ejus ante ipsis. Ἐν τούτοις ἡ μετάφρασις αὕτη διὰ τὴν κατὰ γράμμα προσέγγισιν αὐτῆς τῷ ἑλληνικῷ κειμένῳ ἐστὶ πολύτιμος τῷ νῦν χρόνῳ. Συλλογαὶ τῆς ἀρχαίας Ἰτάλας: Biblia Sacra latinae versionis antiquae S. Vetus Italica studio Petri *Sabatier*, Remis 1793. 3 vol f. Evangelium quadruplex. latinae versionis antiquæ in lucem editum a Jos. *Blanchino*. Romae, 1749. 2, vol. f.

αὐτοῦ ἀνεκούφισεν ὁ Ὠριγένης τοῖς ἑαυτοῦ Ἑξαπλοῖς. Ἐν τῇ ἐκδόσει αὐτοῦ ὁ Ἱερώνυμος ἐσημείωσεν ἁπάσας τὰς διαφορὰς διὰ τῶν σημείων τοῦ Ὠριγένους, τῶν ἀστερίσκων καὶ τῶν ὀβελῶν(1)· δηλ. εἰ ἡ λατινικὴ μετάφρασις συνεφώνει τῇ ἀναγνώσει τῶν Ο, κατέλειπε τὴν μετάφρασιν ἄνευ μεταβολῆς. Τὰς λέξεις τῶν Ο, τὰς μὴ εὑρισκομένας ἐν τῷ ἑβραϊκῷ κειμένῳ, ἐτίθει μεταξὺ τοῦ σημείου(—) καὶ διὰ δύο στιγμῶν (:)· τὰς δὲ μὴ εὑρισκομένας ἐν τῷ κειμένῳ τῶν Ο, συνεπλήρου ἐκ τῆς μεταφράσεως τοῦ Θεοδοτίωνος, ὡς ἔπραττε καὶ ὁ Ὠριγένης, καὶ ἐτίθει αὐτὰς μεταξὺ ἀστερίσκου (*) καὶ δύο στιγμῶν (:). Ἐκτὸς τούτου εἶχεν ἀνὰ χεῖρας τὸ κείμενον τῆς ἑβραϊκῆς Γραφῆς, πρὸς σύγκρισιν ἰδίως τῶν κυρίων ὀνομάτων, καὶ διώρθου τὴν ἀρχαίαν μετάφρασιν ἐκεῖ, ἔνθα αἱ ἐκφράσεις αὐτῆς ἦσαν ἀμφίβολοι ἢ πάντῃ οὐκ ὀρθαί (2). Τὴν μετάφρασιν ταύτην τῆς Παλαιᾶς Διαθήκης καλεῖ ἔκδοσιν ἐπιδιορθωθεῖσαν ἐκ τοῦ ἑλληνικοῦ, δηλῶν, ὅτι ἡ ἔκδοσις αὐτοῦ οὐκ ἠδύνατο καλεῖσθαι νέα μετάφρασις κατ' αὐστηρὰν ἔννοιαν τῆς λέξεως. Εἰ καὶ ὁ μακάριος Ἱερώνυμος παρέβαλεν ἅπαντα τὰ κανονικὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης κατὰ τὰ Ἑξαπλᾶ τοῦ Ὠριγένους, ἀλλ' ἔτι, ζῶντος αὐτοῦ, ἡ κριτικὴ ἔκδοσις βιβλίων τινῶν ἀπωλέσθη, ὡς λέγει, *ex fraude cujusdam* (ἐκ τοῦ δόλου τινός), καὶ διεσώθησαν μόνον τὰ ἀπόγραφα τῶν Ψαλμῶν, τοῦ Ἰώβ, τῶν Παροιμιῶν, τοῦ Ἐκκλησιαστοῦ, τοῦ Ἄσματος τῶν Ἀσμάτων, καὶ τῶν Παραλειπομένων (3). Κατὰ δυστυχίαν καὶ ἐκ

---

(1) Praefat. in post. edit. Psalter. Ep. 135 ad Sunniam et Fretelam.—

(2) Praefat. in Paral. «Cum a me nuper literis flagitassetis, ut vobis Paralipomenon latino sermone transferrem, de Tiberiade quendam legis auctorem, qui apud Hebraeos admirationem habebatur, assumpsi et contuli cum eo a vertice usque ad extremum unquem. Libere loquor. ita et in graecis et latinis codicibus hic nominum liber vitiosus est, ut non hebraica, quam barbara quaedam et sarmatica nomina conjecta arbitrandum sit».—

(3) Hieron. ep. ad Augustin. «Grandem latini sermonis in ista provincia notariarum patimur penuriam; et idcirco praeceptis tuis parere non possumus, maxime in editione septuaginta, quae asteriscis versibus que distincta est.

τῶν τελευταίων βιβλίων μέχρι τοῦ δεῦρο ἐξεδόθησαν μόνον: τὸ βιβλίον τοῦ Ἰώβ, καὶ αἱ δύο κριτικαὶ ἐκδόσεις τῶν Ψ α λ μ ῶ ν, ἡ μὲν ἐνωρὶς γενομένη ἐν Ρώμῃ καὶ παραδεχθεῖσα ἀπ᾽ ἐκείνου τοῦ χρόνου ὡς ρ ω μ α ϊ κ ὸ ν ἐ κ κ λ η σ ι α σ τ ι κ ὸ ν ψ α λ τ ή ρ ι ο ν, εἰ καὶ αὐτὸς ὁ Ἱερώνυμος ὡμολόγει, ὅτι ἐγένετο μετὰ σπουδῆς· ἡ δὲ τελεσθεῖσα βραδύτερον ἤδη ἐν Βηθλεέμ, καὶ κατὰ τὰ Ἑξαπλᾶ τοῦ Ὠριγένους. Ἡ τελευταία ἐστὶ γνωστὴ ὑπὸ τὸ ὄνομα γ α λ λ ι κ ο ῦ ψ α λ τ η ρ ί ο υ (Psalterium gallicanum), διότι τὸ πρῶτον ἐγένετο χρῆσις αὐτοῦ ἐν τῇ γαλλικῇ Ἐκκλησίᾳ.—

§. 184. Β΄.) Νέα μετάφρασις τῆς Παλαιᾶς Διαθήκης ἐκ τοῦ πρωτοτύπου.

Τοιοῦτος ἀνήρ, οἷος ὁ μακάριος Ἱερώνυμος, ἠδύνατο διορᾶν τήν τε ἀξίαν καὶ τὰς ἐλλείψεις τοῦ κειμένου τῶν Ο. Οὐ μόνον δ᾽ αὐτός, ἀλλὰ καὶ οἱ σοφώτατοι τῶν συγχρόνων αὐτῷ διδασκάλων τῆς Ἐκκλησίας ἔβλεπον, ὅτι ἔχοντες ὑπ᾽ ὄψιν τὴν ἀρχαίαν λατινικὴν μετάφρασιν τὴν ὑπ᾽ αὐτοῦ πονηθεῖσαν ἐκ τῶν Ο, οὐκ ἠδύναντο συζητεῖν πρὸς τοὺς Ἰουδαίους ἄνευ χλευασμῶν. Πολλάκις ἤκουσαν ἐν πάσῃ σχεδὸν ῥήσει τῆς μεταφράσεως τοῦ Ἰουδαίου λέγοντος: «οὐχ οὕτως κεῖται ἐν τῷ ἑβραϊκῷ» (1). Ὁ Μακάριος εἶδεν, ὅτι ἐν τῇ μεταφράσει τῶν Ο πολλὰ ἀφορῶντα εἰς τὰς σπουδαιοτάτας τῶν ἀληθειῶν τοῦ χριστιανισμοῦ οὐχ ὑπάρχουσιν, ἅπερ ὅμως εὕρηνται ἐν τῷ

Pleraque enim prioris laboris *fraude cujusdam* amisimus. Περὶ τῆς ἐπιδιορθώσεως τῶν ἓξ βιβλίων ὁμιλεῖ ἐν τῇ ἀπολογίᾳ αὐτοῦ πρὸς Παμμάχιον καὶ Μαρκέλλαν κατὰ Ρουφίνου, καὶ ἐν τοῖς ἓξ βιβλίοις εἰσὶ καὶ νῦν δύο πρόλογοι.

(1) Ἐν τῷ προλόγῳ εἰς τοὺς Ψαλμοὺς ὁ Ἱερώνυμος ἔλεγε τῷ Σωφρονίῳ: «Οὐ πρὸ πολλοῦ διαλεγόμενος πρὸς Ἑβραῖον, παρῆγες μαρτυρίας περὶ τοῦ Κυρίου καὶ Σωτῆρος ἐκ τῶν ψαλμῶν· ὁ δὲ καταγελῶν ἐν πάσῃ σχεδὸν λέξει σου, ἔλεγεν: οὐχ οὕτως ἐν τῷ ἑβραϊκῷ, διότι ἀντετίθεις αὐτῷ τοὺς Ο μεταφραστάς. Καὶ σὺ μετὰ πάσης προθυμίας ᾔτεις, ἵνα μετὰ τὸν Ἀκύλαν, τὸν Σύμμαχον, καὶ τὸν Θεοδοτίωνα, ποιήσωμαι νέαν λατινικὴν μετάφρασιν». Τὸ αὐτὸ λέγει ὁ Ἱερώνυμος περὶ ἑαυτοῦ. Praefat. in Esaiam. Epist. 89 ad Augustin. IV. 2. 267. Praefat. in Paralipom.

πρωτοτύπῳ [*]. Τούτου ἕνεκα ἔγνω κατὰ τὸν αὐτὸν χρόνον, καθ' ὃν ἠσχολεῖτο περὶ τὴν ἐπιδιόρθωσιν τοῦ κειμένου κατὰ τὰ Ἑξαπλᾶ, ποιήσασθαι νέαν μετάφρασιν τῆς Παλαιᾶς Διαθήκης κατὰ τὸ πρωτότυπον. Ὁ μακάριος Ἱερώνυμος ἐτέλεσε τὴν μετάφρασιν αὐτοῦ, ἔχων ἅπαντα τὰ τῷ μεταφραστῇ ἀναγκαῖα βοηθήματα, κατ' ἐξοχὴν τῷ μεταφραστῇ τοιούτων βιβλίων, οἷα τὰ θεόπνευστα. Εἴδομεν ἤδη, ὅσον χρόνον παρεσκευάζετο πρὸς τοῦτο τὸ ἔργον· ἡ εὐσεβὴς αὐτοῦ ἔρευνα τοῦ πνεύματος τῆς Γραφῆς ἐστι δήλη ἐκ τοῦ ἀσκητικοῦ αὐτοῦ βίου. Οἱ δὲ διδάσκαλοι, παρ' οἷς ἐπαιδεύθη τὴν ἑβραϊκὴν καὶ τὴν χαλδαϊκὴν γλῶσσαν τῆς Γραφῆς ἦσαν ἄνδρες πάνυ καλῶς εἰδότες τὴν γλῶσσαν τῶν ἱερῶν βιβλίων, καὶ ἀπολαύοντες διὰ τὰς γνώσεις αὐτῶν τοῦ γενικοῦ σεβασμοῦ (1). Καὶ ἐπαιδεύθη τὴν γλῶσσαν ταύτην μετ'

---

[*] Ἀπορίας ἄξιον, ὅτι ὀρθόδοξος Θεολόγος, οἷος ὁ συγγραφεύς, ἀποφαίνεται, ὅτι ἐν τῷ ἑβρ. πρωτοτύπῳ ἀπαντῶσι πολλὰ ἀφορῶντα εἰς τὰς σπουδαιοτάτας ἀληθείας τοῦ χριστιανισμοῦ, μὴ ὑπάρχοντα δ' ἐν τῇ μεταφράσει τῶν Ο. Διὰ τί τοῦτο οὐ παρετήρησαν οἱ πρὸ τοῦ Ἱερωνύμου πατέρες καὶ πάντων μάλιστα ὁ μέγας Ὠριγένης; Ὁ σοφώτατος Οἰκονόμος ἀποδείκνυσιν, ὅτι μεταξὺ τῶν Ὠριγένους καὶ Ἱερωνύμου χρόνων παρεισέφρησαν διαφθοραὶ εἰς τὸ ἑβραϊκὸν κείμενον· ἃς μετέφερεν ὁ Ἱερώνυμος, εἰς ἣν αὐτὸς ἐπεχείρησε συντάξαι λατινικὴν ἑρμηνείαν. Τὰς κατὰ τῆς μεταφράσεως τῶν Ο ἐμπαθεῖς κρίσεις τοῦ Ἱερωνύμου ἀπέδειξαν ἀδίκους καὶ διαψευσμένας καὶ οὐκ ὀλίγοι τῶν Καθολικῶν καὶ τῶν Διαμαρτυρομένων. Ὁ αὐτὸς κλεινὸς Οἰκονόμος λέγει, ὅτι «ἦλθεν (ὁ Ἱερώνυμος) εἰς τὸ ἔργον, οὔτε περὶ τὴν ἑβραΐδα γλῶσσαν ἐντελῶς συγκεγκροτημένος, οὔτε τὴν ἑλληνικὴν ἔν τισιν ἐξακριβῶν», καὶ «τῶν ἐν πολλοῖς αὐτοῦ παραλογισμῶν σαφέστατα δείγματα» ἐκφέρει. Σ. Μ.

(1) Περὶ τοῦ πρώτου αὐτοῦ διδασκάλου, μοναχοῦ ἐξ Ἰουδαίων, ἔγραφε πρὸς τὸν Δάμασον: «ἔστιν ἐνταῦθα ἄνθρωπος, παρ' ᾧ μετὰ χαρᾶς ἐπαιδεύθην πολλά. Οὗτος τόσον καλῶς ἐξέμαθε τὴν ἑβραϊκὴν φιλολογίαν, ὥστε ἐν τοῖς ἀντιγραφεῦσιν αὐτοῦ νομίζεται Χαλδαῖος». Epist. 142. ad Damasum III. p. 520. Περὶ τοῦ δευτέρου: «Ἐπειδὴ ἡ χαλδαϊκὴ γλῶσσά ἐστι συγγενὴς τῇ ἑβραϊκῇ, εὗρον ἄριστον εἰδήμονα ἀμφοτέρων τῶν γλωσσῶν». Praefat. in Tob.—«Μέμνημαι, ὅτι πρὸς κατάληψιν τούτου τοῦ βιβλίου (τοῦ Ἰώβ) προσέλαβον ἀντὶ πολλῶν χρημάτων Λυδδαῖον (ἐκ τῆς Λύδδης) διδάσκαλον, ὃς ἐν τοῖς Ἑβραίοις νομίζεται πρῶτος». Praef. in Iob.

ἀκαμάτου ἐπιμελείας ([1]). Οὐ μόνον δὲ τῇ ἑβραϊκῇ, ἀλλὰ καὶ τῇ ἀραβικῇ καὶ τῇ συριακῇ γλώσσῃ, τοσοῦτον συγγενέσι τῇ ἑβραϊκῇ, ἐχρήσατο βοηθοῖς ἐν τῇ μεταφράσει ([2]). Ὡς βάσιν τῆς μεταφράσεως αὐτοῦ ἐτίθει τὸ ἑβραϊκὸν κείμενον, ὅπερ διὰ τὴν σημαντικότητα αὐτοῦ καλεῖ ἀλήθειαν καὶ πηγὴν τῆς ἀληθείας ([3]). Ἠδύνατο

[Κατὰ τὸν ἀοίδιμον Οἰκονόμον οἱ διδάσκαλοι αὐτοῦ Σεδεκίας ὁ Λυδδαῖος καὶ Βαραββᾶς οὐκ ἦσαν σοφώτεροι αὐτοῦ περὶ τὰ ἑβραϊκά. Τὸν τελευταῖον, λέγει ὁ αὐτὸς Οἰκονόμος « οὕτως ὀνομάζει ὁ Ρουφῖνος (ἐν τῷ πρὸς Ἱερώνυμον Β'. Στηλιτευτικῷ) λέγων: «Ὅτι Βαραββᾶν οὐκ ἀποδεχόμεθα. Προτεθέντων γὰρ ἡμῖν ἀμφοτέρων, τοῦ Χριστοῦ καὶ τοῦ Βαραββᾶ, ἐγὼ μὲν ὁ ἀγροῖκος αὐτίκα τὴν ἐκλογὴν ἐποιησάμην· σὺ δέ, ὡς ὁρῶ, μετ' ἐκείνων κράζεις τῶν λεγόντων: μὴ τοῦτον ἀλλὰ τὸν Βαραββᾶν» (οὕτως αἰνίττεται διὰ μὲν τοῦ Χριστοῦ τὴν ἐκκλησιαστικὴν ἑρμηνείαν τῶν Ο, διὰ δὲ τοῦ Βαραββᾶ τὴν ἐκ τοῦ μ. Χ. ἑβραϊκοῦ ἑρμηνείαν ὑπὸ διδασκάλοις Ἰουδαίοις). Βαραβανῖνον τοῦτον γράφει καὶ Ἱερώνυμος ἀλλαχοῦ (Ep. LXV). Πρὸς δὲ τὸν Ρουφῖνον ἀπαντῶν, Βαρανίναν (Bahranina) αὐτὸν μετωνόμασεν, ἠρέμα τὴν φωνὴν μεταποιήσας, ὅπως ὑπεκφύγῃ τὸ δύσφημον. Περὶ τῶν Ο, ἑρμην. τῆς Π. Θ. Γ. βιβλ. δ'. κεφ. ε'. σελ. 577). Σ. Μ.]. —

([1]) Ἰδοὺ τί ἔγραφε περὶ τῆς ἐκμαθήσεως τῆς γλώσσης τῆς Γραφῆς: «Ἡλίκους κόπους ὑπέστην, ἡλίκας δυσχερείας ὑπέμεινα, ποσάκις δὲ καὶ ἀπηλπιζόμην, ποσάκις ἔρριπτον τὸ ἔργον, καὶ ἐκ ζήλου πρὸς τὴν παιδείαν ἐκ νέου ἠρχόμην αὐτοῦ,—μάρτυς ἡ ἐμὴ συνείδησις, ἐγὼ αὐτός, ὃς ἔπασχον, καὶ ἡ συνείδησις τῶν ἐμοὶ συζώντων! Ἀλλ' εὐχαριστῶ τῷ Κυρίῳ· νῦν συλλέγω τοὺς ἡδεῖς καρποὺς τοῦ πικροῦ μου σπόρου». Ep. 4. ad Rusticum. p. 769. Τὸ αὐτὸ ἐν τῷ ἐπιταφ. τῆς Παύλας.

([2]) Praef. in Job. «Haec autem translatio nullum de veteribus sequitur interpretem, sed ex ipso Haebraeo Arabicoque sermone et interdum Syro nunc verba, nunc sensum, nunc silmul utrumque resonabit».

([3]) Ἐν τῇ ἐπ. πρὸς τὸν Αὐγουστῖνον (112) λέγει «... ut scirent nostri quid *hebraica veritas* contineret. Si cui legere non placet, nemo compellit invitum ... sed ut apud Hebraeos invenimus, divina transtulimus. Sic ubi dubitas, Hebraeos interroga». Ἐν τῷ προλ. εἰς τὰς Παροιμ. «Sicut ergo Judith, et Tobiam, et Maccabaeorum libros legit quidem Ecclesia, sed eas inter canonicas Scriptu-

ἔχειν τὸ κείμενον τοῦτο ἐν τῇ τότε ἀρίστῃ αὐτοῦ μορφῇ, ὡς δείκνυσιν ἡ μετάφρασις αὐτοῦ, καὶ ἐκείνη ἡ μορφὴ μένει ἡ αὐτὴ μέχρι τοῦ δεῦρο. Ἀλλ' ὁ Ἱερώνυμος οὐκ ἠκολούθει τυφλῶς τῇ ἀναγνώσει τοῦ πρωτοτύπου. «Ἐρῶ διὰ βραχέων, λέγει, ὅτι οὐδεμιᾷ αὐθεντίᾳ ἠκολούθησα· μεταφράζων ἐκ τοῦ ἑβραϊκοῦ συνεμορφούμην τῇ ἀναγνώσει τῶν Ο, μάλιστα ἐκεῖ, ἔνθα οὐ πάνυ πολὺ διεφώνουν πρὸς τὸ ἑβραϊκόν. Ἔσθ' ὅτε ἐμεμνήμην τοῦ Ἀκύλα, τοῦ Συμμάχου, καὶ τοῦ Θεοδοτίωνος. Τοῦτο δὲ ἐποίουν, ἵνα μήτε σφόδρα καινοτομῶν, ἐκφοβίσω τὴν σπουδὴν τῶν ἀναγνωστῶν, μήτε πάλιν ἐναντίον τῆς ἐμαυτοῦ συνειδήσεως, τὴν πηγὴν τῆς ἀληθείας παραλιπών, συστοι-

---

ras non recepit· sic et haec duo volumina, Sapientiam scilicet et Siracidem, legat ad aedificationem plebis, non ad auctoritatem dogmatum confirmandam». [Ἑβραίαν δὲ ἀλήθειαν, λέγει Οἰκονόμος, ὁ μακάριος Ἱερώνυμος ὠνόμαζεν (ὡς φαίνεται) κυρίως τὸ ἑβραϊκὸν ἀρχέτυπον, ἀντιδιαστέλλων τοῦτο πρὸς ἣν ὑπελάμβανεν ἔν τισιν ἐσφαλμένην τῶν Ο, ἑρμηνείαν, οὐχὶ δὲ τὸ κατ' αὐτὸν ἑβραϊκὸν κείμενον, ὡς ἂν τοῦτο πάντως φρονῶν καὶ κρίνων (καθώς τινες παρέπλασαν) ἀδιάφθορον καὶ πανάληθες... Πῶς γὰρ ἂν ἐφρόνησε τοιοῦτον, ἐν ᾧ διωμολόγει πᾶν τοὐναντίον; Πρῶτον μὲν γὰρ ἀνεκήρυξεν, ὅτι καὶ Ἀκύλας καὶ Σύμμαχος καὶ Θεοδοτίων ἀνέγνωσάν (τινα τῆς Πεντατεύχου) μακρῷ τῷ μέτρῳ διαφερόντως, ἢ ὡς ἀνεγίνωσκεν αὐτός· τουτέστιν, ὅτι κατὰ τοὺς Ἀκύλα καὶ Συμμάχου χρόνους οἱ Ἑβραῖοι κώδηκες διέφερον μακρῷ τῶν κατ' αὐτόν. Ἔπειτα δὲ καὶ τούτων δὴ τῶν ἐπ' αὐτοῦ ἀντιγράφων πολλάκις ἐσημείου διαφορὰς καὶ παραλλαγάς. Ἀλλὰ καὶ μεταφράζων τὸ κείμενον, παρεξέκλινεν ἔστιν ὅτε πρὸς τὴν ἑρμηνείαν τῶν Ο, ἢ καὶ τῶν λοιπῶν τῶν ἐν τοῖς Ἑξαπλοῖς ἑρμηνευτῶν... ὥστε τὴν ἑβραίαν, ἣν ἔλεγεν, ἀλήθειαν ἀνῆγεν εἰς τὰ ἑβραϊκὰ ἀρχέτυπα, δηλονότι τὰ τῶν Προφητῶν αὐτόγραφα (καθὸ πρώτην τῶν ἀλληλοδιαδόχων ἀντιγράφων πηγήν), ἀλλ' οὐκ εἰς τὰ κατ' αὐτὸν ἀντίγραφα, ὧν σαφῶς ἐπεγίνωσκε τὰς παντοίας διαφθοράς...» Περὶ τῶν Ο, ἑρμ. τῆς Π. Θ. Γ. (βιβλ. γ'. σελ. 99-101). Καὶ ὁ ἱερὸς Αὐγουστῖνος καλεῖ τὴν ἐκ τῶν Ο, μεταφρασθεῖσαν Ἰταλὰν λατινικὴν ἀλήθειαν, καίπερ δυσανασχετῶν ἐπὶ ταῖς παραλλαγαῖς ταῖς εὑρισκομέναις κατ' αὐτὸν ἐν διαφόροις αὐτῆς ἀπογράφοις. In diversis codicibus ita varia est (latina veritas), ut tolerari vix possit. ep. 72. ad Hieron. Σ. Μ.]

χήσω ρυακίοις ὑπολήψεων (ἀλλοτρίων)» (1). Ἄριστα εἰδὼς τὴν λατινικὴν γλῶσσαν ἐννόει καλῶς τὸ ἔργον τοῦ μεταφραστοῦ καὶ μετέφραζεν οὕτως, ὡς ἐννόει τοῦτο τὸ ἔργον (2). Σημειωτέον δέ, ὅτι ἡ μετάφρασις τοῦ Ἱερωνύμου ἦν ἂν τελειοτέρα, εἰ μὴ μετέφραζε μετὰ τηλικαύτης ταχύτητος, μεθ' ἡλίκης, κατὰ τὴν ἰδίαν αὐτοῦ ὁμολογίαν μετέφρασε βιβλία τινά (3). Τὰ ἐκ τῆς σπουδῆς σφάλματα καὶ αὐτὸς κατόπιν ὡμολόγει, καὶ ἐπιδιώρθου τὴν μετάφρασιν αὐτοῦ, ὅτε ἔγραφε τὰ ὑπομνήματα (4). Ἡ ἀπὸ τῶν Ο, ἀπομάκρυνσις αὐτοῦ οὐκ ἀείποτε δείκνυται ὀρθή (5). Ἡ πλήρης τελειότης ἐν τῷ οὐρανῷ.

(1) Praefat. comment. in Ecclesiast. ἴδ. ep. 74. ad Marcel. καὶ Praefat. in Iob. [Ὀρθῶς σημειοῖ ὁ ἀείμνηστος Οἰκονόμος, ὅτι ὁ θαυμάσιος Ἱερώνυμος διαφωνεῖ πρὸς ἑαυτόν, ἐν οἷς ἐκφράζει τὴν μέθοδον, ἥπερ ἐχρῆτο περὶ τὴν ἑρμηνείαν. Σ. Μ.].—

(2) Ep. 135. ad Sunniam et Fretelam: «Ἰδοὺ κανὼν τῷ καλῷ μεταφραστῇ· τοὺς ἰδιωτισμοὺς τῆς ξένης γλώσσης ἐκφράζειν διὰ τῶν ἰδιωτισμῶν τῆς ἑαυτοῦ. Οὐ δεῖ νομίζειν τὴν λατινικὴν γλῶσσαν πτωχήν, διότι ἀδύνατον μεταφράζειν λέξιν πρὸς λέξιν. Καὶ οἱ Ἕλληνες (δηλ. οἱ Ο) μεταφράζουσι τὰς ἑβραϊκὰς λέξεις διὰ παραφράσεως, οὐ θηρεύοντες τὴν ἐν τῇ μεταφράσει ἀκρίβειαν, ἀλλὰ σπουδάζοντες ἐκφράζεσθαι ἰδιωτισμοῖς τῆς ἑαυτῶν γλώσσης». Ep. ad Pammach. de optimo genere interpretandi, in 2. p. 248. Διὰ τοῦτο ψέγει τὸν κατὰ γράμμα μεταφράσαντα Ἀκύλαν, αὐτόθ. p. 255.

(3) Μόλις πιστευτόν, ὅτι ὁ Ἱερώνυμος οὕτω ταχέως μετέφρασε τὰ τρία βιβλία τοῦ Σολομῶντος καὶ τὸ τοῦ Ἰώβ. Τὴν μετάφρασιν τῶν σολομοντείων βιβλίων ὁ Ἱερώνυμος καλεῖ τριήμερον ἔργον, τὴν δὲ τοῦ Ἰὼβ μονοήμερον. Praefat. in Iob. Βεβαίως ἐπὶ πολὺ παρεσκευάζετο πρὸς τὸ ἔργον αὐτοῦ· καὶ ὅμως οὐ χρῆται ἄραγε γλώσσῃ ὑπερβολῆς, εἰ ἐννοεῖ μόνον τὸ ἔργον τῆς μεταφράσεως; Τῷ ἀρίστῳ τῶν ἀντιγραφέων μόλις ἀρκοῦσι τέσσαρες ἡμέραι, ὅπως ἀντιγράψῃ μόνον τοιαῦτα βιβλία. [Οὐχὶ τὸ βιβλίον τοῦ Ἰὼβ λέγει, ὅτι μετέφρασεν ἐν μιᾷ ἡμέρᾳ, ἀλλὰ τὸ τοῦ Τωβὶτ καὶ τὸ τῆς Ἰουδείθ. Εἰ δ' ἐχρήσατο τοιαύτῃ ταχυεργίᾳ, σημειοῖ ὁ κλεινὸς Οἰκονόμος, περὶ τὴν μετάφρασιν καὶ τῶν ἄλλων τευχῶν τῆς Γραφῆς, παντὸς ἂν διὰ μηνὸς ἑνός, ἢ (τὸ πλεῖστον) δίμηνον, ἔμελλεν ἐξανύσειν ὅλον τὸ ἔργον τῆς ἑρμηνείας. Σ. Μ.]—

(4) Comment. in Esaiam, cap. 19.

(5) Histor. crit. V. Testam. auct. Richardo Simonio, 2. c. 12. Amstelod. 1685.

§. 185. Δυσαρέστησις συγχρόνων τινῶν ἐπὶ τῇ μεταφράσει τοῦ Ἱερωνύμου. Ὁ Ἱερώνυμος ὑπερασπίζει αὐτήν.

Οἵα ἦν ἡ τύχη τῆς μεταφράσεως τοῦ Ἱερωνύμου; Ὁ μακάριος οὗτος πατὴρ καὶ προεῖδεν αὐτὴν καὶ ἔργῳ ἐδοκίμασεν· ἀλλὰ προβλέπων οὐκ ἐταράσσετο, καὶ δοκιμάζων οὐκ ἀπετρέπετο τοῦ ἀγαθοῦ πόνου. Ἰδοὺ τί ἔγραφεν, ἀνατιθεὶς τὴν πρώτην αὐτοῦ μετάφρασιν τῷ Π. Δαμάσῳ: «Ἀναγκάζεις με ποιῆσαι νέον ἔργον ἐκ παλαιοῦ, ἵνα, τοσούτων ἀντιτύπων ἀνὰ πάντα τὸν κόσμον ἐσκεδασμένων, γένωμαι κριτής· καὶ ἐπειδὴ ταῦτα διαφέρουσι πρὸς ἄλληλα, ὥρισα ἄν, τίνα τούτων συμφωνοῦσι τῇ ἑλληνικῇ ἀληθείᾳ. Εὐσεβὴς ὁ πόνος, ἀλλ᾽ ἐπικίνδυνον τὸ ἀναδέξασθαι αὐτὸν—κρῖναι περὶ τῶν ἄλλων καὶ ὑπὸ πάντων κριθῆναι. Ταυτόν ἐστι τὸ μεταβάλλειν τὴν γλῶσσαν τοῦ γέροντος καὶ τοὺς πολιοὺς ἐπανάγειν εἰς τὰ ἔτη τῆς νεότητος. Τίς τῶν σοφῶν ἢ ἀμαθῶν, λαβὼν ἀνὰ χεῖρας τὸ βιβλίον καὶ ἰδών, ὅτι οὐ συμφωνεῖ ἐκείνῳ, ὅπερ εἴωθεν ἀναγινώσκειν, οὐκ ἂν ἀνέκραξέν: ἐστι ψεύστης, ἱερόσυλος, τολμᾷ ποιεῖσθαι προσθήκας τοῖς παλαιοῖς βιβλίοις, μεταβάλλειν, ἐπιδιορθοῦν! Ἀλλὰ δύο περιστατικὰ παρηγοροῦσί με—τὸ μέν, ὅτι καὶ σύ, ὁ μέγας ἀρχιερεύς, ἐπιτάσσεις μοι τοῦτο, τὸ δέ, ὅτι καὶ αὐτὴ ἡ κακολογία δύναται μαρτυρεῖν, ὅτι οὐκ ἔστιν ἀλήθεια, ἔνθα ἐστὶ διαφορά». Οὕτως ἔλεγεν ὁ ὀξυδερκὴς ἀνήρ, καὶ οὕτω συνέβη. Πανταχόθεν ἠγέρθησαν αἰτιάσεις κατὰ τοῦ Ἱερωνύμου, κατ᾽ ἐξοχὴν δέ, ὅτε ἤρξατο ἐκδίδεσθαι ἡ μετάφρασις τῆς Παλαιᾶς Διαθήκης(¹). Οὐ μόνον ὑβρίσθη, ἀλλὰ καὶ δεινὸς πόλεμος ἐκηρύχθη κατ᾽ αὐτοῦ. Ἐν ἑκάστῳ σχεδὸν προλόγῳ εἰς νέον πόνημα αὐτοῦ ἠναγκάζετο ἀπολογεῖσθαι. Πάνυ ὠφέλιμον γινώσκειν τί ἔλεγον κατ᾽ αὐτοῦ καὶ τί ἀπεκρίνετο, ἐξακολουθῶν τὸ ἔργον ὑπὸ τὴν χάλαζαν τῶν ἐπ᾽ αὐτὸν ριπτομένων μομφῶν. Ἀμειλικτότερον ἁπάντων τῶν ἄλλων ἐμέμψατο ὁ Ῥουφῖνος τῷ Ἱερω-

(¹) Λέγομεν κ α τ ᾽ ἐ ξ ο χ ή ν, διότι πικρῶς κατεκρίθη καὶ ἡ ἐπιδιορθωθεῖσα μετάφρασις τῶν Ο ἑρμηνευτῶν. Ἐν τῷ προλόγῳ εἰς τὸν Ἰώβ, εἰπὼν περὶ τῶν αἰτιάσεων, γράφει: « τηλικαύτη ἡ εἰς τὴν ἀρχαιότητα συνήθεια, ὥστε καὶ τὰ προφανῆ σφάλματα ἀρέσκουσι πολλοῖς· μᾶλλον βούλονται ἔχειν ὡραῖα ἀπόγραφα, ἢ ἐπιδιωρθωμένα».—

νύμῳ διὰ τὴν μετάφρασιν, ὑπάρχων τὸ μὲν πρῶτον φίλος, ἔπειτα δὲ ἐχθρὸς αὐτοῦ. «Τίς ἐκτὸς σοῦ, ἔλεγεν ὁ Ρουφῖνος, ἐπέβαλε χεῖρα κατὰ τῆς δωρεᾶς τοῦ Θεοῦ καὶ τῆς κληρονομίας τῶν Ἀποστόλων; . . . Τίς ἐτόλμησε συλῆσαι τὴν ὑπὸ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδεδομένην διαθήκην τοῦ Θεοῦ, τὴν παρακαταθήκην τοῦ ἁγίου Πνεύματος; ....(¹).

(¹) Inivectiv. l. 2. [Τῶν δύο καθ' Ἱερωνύμου Στηλιτευτικῶν τοῦ « εὐγενεστάτου καὶ μονοτρόφου καὶ στιβαρωτάτου Ρουφίνου· — οὗ γνωστικώτερον καὶ ἐπιεικέστερον ἐν ἀνδράσιν οὐχ εὑρίσκετο» (Παλλάδ. Λαυσ. κεφ. ριθ΄.) διεσώθη μόνον ὁ δεύτερος, εἰς δύο βιβλία διῃρημένος. Λίαν ὀρθῶς λέγει ὁ σοφώτατος Οἰκονόμος, ὅτι ὁ Ρουφῖνος ἐξελέγχει « ἄγαν ἐμβριθέσι καὶ πικνοῖς ἐπιχειρήμασι τὸ περὶ τὴν καινοτομηθεῖσαν ἑρμηνείαν τόλμημα τοῦ Δαλμάτου Πατρός», καί τινα τούτων ἐξελληνίζει, ἅτινα οὐ περιττὸν κρίνομεν παραθέσθαι ἐνταῦθα τοῖς ἀναγνώσταις, κατὰ τὴν μετάφρασιν τοῦ ἀρίστου καὶ θαυμασιωτάτου ἁπάντων τῶν καθ' ἡμᾶς προμάχων τῆς ἁγιωτάτης ἡμῶν ὀρθοδόξου Ἐκκλησίας. «Πρός τί, φησι, μεταφράζεις; Μῶν, ἵνα τὰς βίβλους τῶν θείων Γραφῶν, ἃς οἱ Ἀπόστολοι πρὸς πληρεστάτην διδασκαλίαν τῆς πίστεως τῇ τοῦ Χριστοῦ παρέδωκαν Ἐκκλησίᾳ, ταύτας διὰ νέας νῦν καὶ ὑπὸ τῶν Ἰουδαίων παρηλλαγμένης μεταφράσεως παραλλάξῃς; Καὶ μὴν ὅσα σὺ τὰ νῦν μεθερμηνεύεις, καὶ κατ' Ἐκκλησίας, καὶ μοναστήρια, καὶ πολύχνια, καὶ φρούρια διαπέμπεις, ποτέρως ἀποδεξόμεθα, ὡς θεῖα, ἢ ὡς ἀνθρώπινα; Καὶ τί ποιήσομεν, ὁπότε τὰ Προφητῶν καὶ Νομοθετῶν ὀνόμασιν ἐπιγεγραμμένα (λόγια), οἷα παρὰ σοῦ προέρχονται, βεβαιοῦνται ὡς μᾶλλον ἀληθέστερα ὑπὸ τῶν ἐγκεκριμένων ὑπὸ τῶν ἀπο-Ἀποστόλων; Τοῦτο δὲ τὸ ἁμάρτημα, ἄγε, λέγε, πῶς ἐπανορθωθήσεται; μᾶλλον δέ, πῶς τὸ ἄγος καθαρθήσεται; Εἰ γὰρ περὶ τὴν τοῦ νόμου ἑρμηνείαν ἄλλως τὶ ἐξηγηθέν, καταδικαστέον τοῦτο κρίνεις· τὸ τὸν νόμον αὐτὸν διαστρέφειν εἰς ἄλλο παρ' ὃ παρέδωκαν οἱ Ἀπόστολοι, ποσάκις καταδικαστέον εἶναι κριθήσεται; Διὰ τί μὴ λαλήσω περὶ τῆς ἀπονοίας τοῦ τολμήματος; Τίς τῶν πρὸ σοῦ γενομένων τοσούτων καὶ τηλικούτων συνετῶν καὶ ἁγίων ἀνδρῶν ἐτόλμησε τοιοῦτον ἐγχείρημα; τίς ηὐθαδιάσατο τὰς ἱερὰς τοῦ παναγίου Πνεύματος φωνὰς καὶ τὰ θεῖα τεύχη περιφρονῆσαι; . . . . . Πολὺ πλῆθος (ὡς ἱστόρηται) τῶν ἐκ περιτομῆς πιστευσάντων ὑπῆρχεν ἐξ ἀρχῆς ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, καὶ μάλιστα ἐν Ἱεροσολύμοις· ἐν δὲ τούτοις ἦσαν πάντως οἱ τελείαν ἔχοντες γνῶσιν ἀμφοτέρων τῶν γλωσσῶν, καὶ τοῦ νόμου ἐμπειρίαν . . . Τίς οὖν τῶν ἐν τούτῳ τῷ πλήθει πεπαι-

Ὁ μακάριος Αὐγουστῖνος, μαθὼν τὴν πρώτην ἀπόπειραν τοῦ Ἱερωνύμου—τὴν μετάφρασιν βιβλίων τινῶν ἐκ τοῦ ἑβραϊκοῦ, ἐκάλεσε

δευμένων ἀνδρῶν ἐτόλμησε τὴν ὑπὸ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παραδεδομένην διαθήκην τοῦ Θεοῦ, καὶ τοῦ Παναγίου Πνεύματος παρακαταθήκην διασκευάσαι; Οὐ γὰρ διασκευάζειν ἐστὶ τὸ μεταποιεῖν τινά, καὶ λέγειν *διορθοῦσθαι τὰ ἐσφαλμένα*; Πᾶσα ἐκείνη τῆς Σωσάννης ἡ ἱστορία, ἥτις ἁγνείας ὑπόδειγμα παρεῖχε ταῖς τοῦ Θεοῦ ἐκκλησίαις, ὑπὸ τουτουΐ (τοῦ Ἱερωνύμου) ἐκκέκοπται, καὶ ἀπέρριπτε καταφρονηθεῖσα. Τῶν τριῶν παίδων ὁ ὕμνος, ὁ κατὰ τὰς πανηγυρικὰς ἡμέρας ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ ψαλλόμενος, ὑπὸ τουτουῒ ἐκ τοῦ οἰκείου τόπου παντελῶς ἀπεξέσθη· καὶ τί δεῖ καθ' ἕκαστα μνημονεύειν, ὧν τὸν ἀριθμὸν ἀδύνατον συμπεριλαβεῖν; Ὅτι μὲν οὖν ΟΒ ἀνδρῶν ἑρμηνεία, κατὰ μέρος ἐν δωματίοις ὁμοφώνως ἑρμηνευσάντων, προῆλθεν ἀναμφιβόλως ἐξ ἐπιπνοίας τοῦ παναγίου Πνεύματος, διὸ δεῖ καὶ κῦρος αὐτὴν ἔχειν πολλῷ γε μεῖζον, ἢ τὸ παρ' ἑνὸς ἀνθρώπου, ὑπὸ Βαραββᾶ ἐμπνεομένου, μεταφρασθέν, περὶ τούτου παρεῶ λέγειν· ἰδοὺ δὲ τὶ λέγομεν, χάριν παραδείγματος. Δι' ὅλων 24 ἐτῶν ὁ Πέτρος τῆς Ρωμαίων Ἐκκλησίας προστάς, ὡς τὰ λοιπὰ τῆς διδασκαλίας, οὕτω καὶ τὰς βίβλους τῆς Γραφῆς αὐτὸς παρέδωκεν τῇ Ἐκκλησίᾳ, αἳ καὶ ἐπ' αὐτοῦ καθημένου καὶ διδάσκοντος ἀνεγινώσκοντο. Τί οὖν; ἐξηπάτησεν ὁ Ἀπόστολος Πέτρος τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, βιβλία ψευδῆ καὶ μηδὲν ἀληθείας περιέχοντα παραδούς; καὶ ἐν ᾧ τοὺς Ἑβραίους ἠπίστατο κεκτημένους τὰ ἀληθῆ, παρὰ τοῖς χριστιανοῖς ἠθέλησεν ἐμφέρεσθαι τὰ ψευδῆ; Ἀλλ' ἴσως ἐρεῖ, ὅτι ἀγράμματος ἦν ὁ Πέτρος, καὶ ᾔδει μὲν τὰς παρ' Ἰουδαίοις βίβλους οὔσας ἀληθεστέρας τῶν ἐν τῇ Ἐκκλησίᾳ, ἀλλ' οὐκ ἠδύνατο ταύτας ἑρμηνεύειν, διὰ τὴν ἄγνοιαν τῆς φωνῆς. Καὶ πῶς; οὐδὲν λοιπὸν ἐνήργει ἐν αὐτῷ ἡ διὰ τοῦ ἁγίου Πνεύματος οὐρανόθεν αὐτῷ καταπεμφθεῖσα πυρίνη γλῶσσα; οὐδ' ἐλάλουν πάσαις γλώσσαις οἱ Ἀπόστολοι; Ἀλλ' ἔστω· δῶμεν, ὅτι *Πέτρος ὁ Ἀπόστολος* οὐκ ἠδύνατο ποιεῖν, ὅ,τι μόνος οὗτος (ὁ Ἱερώνυμος) ἔπραξε. Περὶ δὲ τοῦ Παύλου τί εἴπωμεν; Μὴ καὶ Παῦλος ἀγράμματος ἦν; *Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, παρὰ τοὺς πόδας τοῦ Γαμαλιὴλ* παιδευθείς, ἐν δὲ τῇ Ρώμῃ ταχθεὶς καὶ αὐτός, πῶς οἴει; μὴ οὐκ ἠδύνατο τὰ τῷ Πέτρῳ λείποντα προσαναπληρῶσαι; Καὶ πῶς οὗτοι δή, οἱ τοῖς μαθηταῖς *προσέχειν τῇ ἀναγνώσει* παραγγέλλοντες, οὐ παρεῖχον αὐτοῖς καὶ ἀναγνώσεις ἀληθεῖς καὶ διωρθωμένας; Καὶ αὐτοί, οἱ κελεύοντες ἡμῖν μὴ προσέ-

τὴν ἐπιχείρησιν αὐτοῦ ἀνωφελῆ καὶ δὴ καὶ ἐπικίνδυνον. « Αἱ λατινικαὶ Ἐκκλησίαι, ἔγραφε, διαφωνήσουσι πρὸς τοὺς Ἕλληνας, μάλιστα διότι ὁ ἀντιλέγων ἐξελέγχεται, ἑλληνικῆς βίβλου προσκομισθείσης, δηλονότι γλώσσης γνωριμωτάτης. Ἐὰν δέ τις ἐν ἐκείνῳ, ὅπερ ἐκ τοῦ ἑβραϊκοῦ μετεφράσθη, ὑπό τινος ἀσυνήθους (ἐκφράσεως)

χειν μύθοις ἰουδαϊκοῖς καὶ γενεαλογίαις, αἵτινες γεννῶσι μάχας μᾶλλον ἢ οἰκοδομήν· καὶ πάλιν ἐπιτάττοντες, ἵνα φυλαττώμεθα καὶ παρατηρῶμεν μάλιστα τοὺς ἐκ περιτομῆς, πῶς οὗτοι οὐ προεῖδον διὰ τοῦ Πνεύματος, ὅτι ἔσται ποτὲ καιρός, μετὰ τετρακόσια σχεδὸν ἔτη, καθ' ὃν ἡ Ἐκκλησία ἐπιγνοῦσα, ὅτι οὐ παρέδωκαν αὐτῇ οἱ Ἀπόστολοι τὴν ἀλήθειαν τῆς Παλαιᾶς Διαθήκης, ἔμελλε πέμπειν πρεσβείαν πρὸς οὓς ἐκεῖνοι ἐκάλουν περιτομήν, ἱκετεύουσα καὶ δεομένη, ὅπως αὐτῇ χαρίσωνταί τι καὶ σμικρὸν τῆς παρ' αὐτοῖς ἀποκειμένης ἀληθείας; ὁμολογῆσαι δέ, καὶ ὅτι δι' ὅλων 400 ἐτῶν ἐπεπλάνητο, καὶ ἠγνόει τὴν ἀλήθειαν; Καὶ ὅτι ἡρμόσθη μὲν ἐξ ἐθνῶν νύμφη τῷ Χριστῷ διὰ τῶν Ἀποστόλων, ἀλλ' οὐ καὶ περιδεραίοις ὁρμίσκοις ἀληθινοῖς ὑπ' αὐτῶν ἐκοσμήθη; Καὶ ᾤετο μὲν ταῦτα λίθους εἶναι πολυτίμους· ἐπειδὴ δὲ κατενόησεν, ὅτι οὐκ εἰσὶν ἀληθινὰ ταῦτα δὴ τὰ κοσμήματα, τὰ παρὰ τῶν Ἀποστόλων τοῦ Χριστοῦ αὐτῇ περιτεθέντα, αἰσχύνεται προελθεῖν εἰς τὰ πλήθη, ψευδέσι λίθοις περικεκοσμημένη. Διὸ καὶ παρακαλεῖ (τὴν περιτομήν), ἵνα κἂν τὸν Βαραββᾶν ἐκεῖνον, οὗ πρώην κατεφρόνησεν, ὅπως τῷ Χριστῷ νυμφευθῇ, ἐκεῖνον γοῦν ἀποστείλῃ πρὸς αὐτήν· ὅστις, μετά τινος ἀνδρὸς ἐκ τῶν αὐτῆς οἰκείων ἐκλελεγμένου, δυνήσεται τὰ ἀληθῆ κοσμήματα, ἅπερ οἱ Ἀπόστολοι οὐ παρέσχον αὐτῇ, ἀντικαταστῆσαι!... Ταῦτα ἡμῖν (τοῖς χριστιανοῖς) αὕτη σου ἡ μεγάλη σοφία περιποιεῖ, ἵνα πάντες ἄσοφοι λογιζώμεθα καὶ παρὰ τοῖς ἐθνικοῖς. Οὐκ ἐθέλω σοφίαν, ἣν ὁ Πέτρος καὶ Παῦλος οὐκ ἐδίδαξαν. Σὺ αὐτὸς εἶπας, ὅτι μετὰ 400 ἔτη οὐ χρὴ τὰς τῶν λατίνων ἁπλοϊκὰς ἀκοὰς διαθρυλλεῖσθαι νεωτέρας διδασκαλίας φωναῖς. Νῦν δὲ σὺ πάλιν λέγεις, ὅτι, πᾶς ὃς ἐνόμιζε τὴν Σωσάνναν ἐγγάμοις τε καὶ ἀγάμοις αἰδοῦς παράδειγμα παρασχεῖν, ἐπλανήθη. . . . . Ἐκεῖνοι (οἱ Ἰουδαῖοι) σὲ ἠπάτησαν, ὦ ἀδελφέ μου, πρὶν ὑπὸ τῶν Ἰουδαίων ἀγρευθῇς φίλτατε! ἐκεῖνοί σε, δι' ὧν ἐξέδωκας σχεδαρίων, τοὺς Χριστιανοὺς στιγματίζειν, ἐκεῖνοι μηδὲ τῶν μαρτύρων φείδεσθαι ποιοῦσιν· ἐκεῖνοί σε κατὰ σαυτοῦ, καὶ ὧν πρότερον ὡς χριστιανὸς ἐξέδωκας συγγραφῶν, ἐναντίαν ἤδη γνώμην ἐπιφέρειν ἀναγκάζουσι . . κ. τ. λ. » Σ. Μ.].—

ταραχθῇ καὶ ψεῦδος αὐτῆς καταγνῷ, ἢ μόλις, ἢ οὐδέποτε ἀφίξεται, οἷς δυνατὸν ἀποκροῦσαι τὴν ἀντιλογίαν. Ἐὰν δὲ καὶ ἀφίκηται, τίς ἂν τοσαύτας λατινικὰς καὶ ἑλληνικὰς αὐθεντίας καταδικασθῆναι ἀνάσχοιτο; . . . » (1). Ἄλλοι δὲ ἀνέφερον τὸ θεόπνευστον τῶν Ο, ἑρμηνευτῶν. Αἱ κυριώτεραι δικαιολογήσεις τοῦ μακαρίου ἦσαν αἱ ἑξῆς:

α΄.] Τῆς μεταφράσεως τῶν Ο οὐ καταφρονεῖ. Ἀπόδειξις τούτου ὁ κόπος, ὃν ὑπέστη ἐν τῇ διορθώσει αὐτῆς (2).

β΄.] Ἀναντίρρητον, ὅτι τὸ ἑβραϊκὸν κείμενόν ἐστι κρεῖττον τοῦ

---

(1) Epist. CIV. ἴδ. καὶ de civit. Dei XVII. 43. [Καὶ διηγεῖται (ὁ Αὐγουστῖνος) παράδειγμα, λέγει ὁ κλεινὸς Οἰκονόμος, ταραχῆς ἐπισυμβάσης ἔκ τινος ξενοφανείας τῆς νέας μεταφράσεως. Ἔν τινι τῶν ἐν Ἀφρικῇ Ἐκκλησίᾳ ἀναγνωσθείσης τῆς Ἰωνᾶ προφητείας κατὰ τὴν Ἱερωνύμου μετάφρασιν (ὅπου ἀντὶ τοῦ κολοκύνθη τῶν Ο, ὁ Ἱερώνυμος ἔγραψε, κατὰ τὸν Σύμμαχον, κισσόν), διηγέρθη πολὺς θόρυβος ἐν τῷ λαῷ· καὶ ὁ τῆς χώρας ἐπίσκοπος ἐξελαθῆναι κινδυνεύνων (ὡς παραχαράκτης τῆς Γραφῆς), ἠναγκάσθη τοὺς ἐκεῖ διατρίβοντας Ἰουδαίους ἐρωτῆσαι, ὅπως ἔχει ἡ λέξις ἐν τῷ ἑβραϊκῷ. Ἐκεῖνοι δὲ εἶπον, ὅτι, καθὼς ἔχει καὶ ἐν τῇ ἑλληνικῇ (τῶν Ο,) κἂν τῇ λατινικῇ (Ἰτάλᾳ) μεταφράσει (δηλ. κολοκύνθην· οὕτω κἀκεῖνοι ἡρμήνευον τὸ ἑβραϊκὸν kikajon ὅπερ οἱ νεώτεροι ἐξηγοῦσι κίκι, φυτὸν αἰγυπτιακόν)· ὥστε ὁ ἐπίσκοπος διώρθωσεν, ὡς σφάλμα, τὴν λέξιν. Ἀλλ' ὁ Ἱερώνυμος ἐπὶ τούτοις ὠργίζετο, καὶ πρὸς τὸν Αὐγουστῖνον ἀπήντησε πικρά. Ἐπ. 89. σελ.955. (Περὶ τῶν Ο, ἑρμην. τῆς Π. Θ. Δ. βιβλ. δ΄. κεφ. ε΄. σελ. 607). Καὶ ὁ σύγχρονος τῷ Ἱερωνύμῳ Θεόδωρος ὁ Μοψουεστίας ἐκάκισε τὴν ἐκ τοῦ ἑβραϊκοῦ μετάφρασιν αὐτοῦ, ὀνομάσας αὐτὸν Ἀρὰμ (δηλ. Σύρον, ὡς ἐν ταῖς ἐρήμοις τῆς Συρίας τοὺς ἀσκητικοὺς ἄθλους ἀγωνισάμενον) «ἀπωσάμενον μὲν τὴν τῆς Θείας καὶ Παλαιᾶς Γραφῆς, ἣν οἱ Ο, συνεληλυθότες ἐκδεδώκασι, μετάφρασιν, . . . ἰδίαν δὲ τινὰ καὶ καινὴν ἐπαρθέντα συντάξαι, μήτε τὴν ἑβραίων, ὡς ἐκεῖνοι, ἐκ παιδὸς ἀσκηθέντα διάλεκτον, μήτε τὸν τῆς Θείας Γραφῆς νοῦν ἐκδιδαχθέντα, Ἑβραίων δέ τισι τῶν χαμαιπετῶν ἑαυτὸν ἐκδεδωκότα . . . κ. τ. λ. Καὶ ὁ Παλλάδιος ἔψεγε τὴν μετάφρασιν τοῦ Ἱερωνύμου, ὡς αὐτὸς ὁμολογεῖ. Σ. Μ.]—

(2) Ἴδ. σελ. 505. σημ. 1. σελ. 508. σημ. 5. Apolog. adv. Rufin. II. 24.

ἑλληνικοῦ· τὸ μὲν πρῶτόν ἐστι πηγὴ τῆς ἀληθείας, τὸ δὲ τελευταῖον ρυάκιον ὑπολήψεων(¹).

γ΄.] Ἐν τῇ ἑλληνικῇ μεταφράσει τῶν Ο οὐχ ὑπάρχουσι πολλά, ἅτινα ἀπαντῶσιν ἐν τῷ ἑβραϊκῷ κειμένῳ—καὶ δὴ ἀναφερόμενα πρὸς τὰς σπουδαιοτάτας χριστιανικὰς ἀληθείας(²). Ὁ Ἱερώνυμος ἀναφέρει καὶ μαρτυρίας ἀναγιγνωσκομένας μὲν ἐν τῇ Κ. Δ. περὶ τοῦ Σωτῆρος, οὐχ εὑρισκομένας δέ, ὡς ὁ αὐτὸς μαρτυρεῖ, ἐν τοῖς ἀπογράφοις τοῦ ἑλληνικοῦ κειμένου, (Ὠσηὲ ια΄. 1. Ἡσ. ια΄. 1. Ζαχαρ. ιϐ΄. 10) (³). Καὶ ἔπειτα γράφει. «Ἐρωτῶμεν δ' αὐτοὺς ποῦ γέγραπται τοῦτο; Οὐ δύνανται εἰπεῖν, ἡμεῖς δὲ παράγομεν ταύτας ἐκ τῶν ἑβραϊκῶν βιϐλίων . . . . ἐν τούτοις ἀγνοοῦντες τοῦτο, παρακολουθοῦσι τοῖς μύθοις τῶν ἀποκρύφων . . . Οὐκ ἐμὸν ἔργον ἐκθεῖναι τὰς αἰτίας τῶν σφαλμάτων. Οἱ Ἰουδαῖοι λέγουσιν, ὅτι τοῦτο ἐγένετο ἐκ φρονίμου βουλῆς, ἵνα μὴ ὁ Πτολεμαῖος, ὃς ἔσεϐεν ἕνα Θεόν, νομίσῃ, ὅτι παρὰ τοῖς Ἑϐραίοις εἰσὶ δύο Θεοί . . . » (⁴).

δ΄.] Οὐκ οἶδα, ἔγραφεν ὁ Ἱερώνυμος, τίς πρῶτος τῇ ψευδοσύνῃ αὐτοῦ κατεσκεύασεν ἐν Ἀλεξανδρείᾳ ἑϐδομήκοντα οἰκίσκους, ἐν οἷς οἱ ἑρμηνεῖς δῆθεν διῃρημένοι, τὰ αὐτὰ πάντες συνέγραφον· ὁπότε

(¹) Ἴδ. σελ. 521 σημ. 1, 2.

(²) Praefat in Genes., «Ἄκουε, ζηλωτά, ἄκουε κατήγορε. ἔγραφεν ὁ μακάριος. Διὰ τί διαρρήγνυσαι ὑπὸ τῆς κακίας; Διὰ τί ἐγείρεις κατ' ἐμοῦ ἀνθρώπους ἀμαθεῖς; Εἰ κατὰ σὲ ἠπατήθην ἔν τινι, ἐρώτησον τοὺς Ἑϐραίους, συμϐουλεύθητι τοῖς διδασκάλοις διαφόρων πόλεων. Ὅ, τι ὑπάρχει παρ' αὐτοῖς περὶ τοῦ Χριστοῦ, οὐκ ἔστιν ἐν τοῖς σοῖς ἀπογράφοις . . . Εἰσὶ λατινικὰ ἀπόγραφα κρείττω τῶν ἑλληνικῶν, ἑλληνικὰ δὲ κρείττονα τοῦ ἑβραϊκοῦ».

(³) Βεϐαίως ἐννοεῖ ὁ Ἱερώνυμος ἐνταῦθα τὸ κείμενον τῶν Ο ἐν ἐκείνῃ αὐτοῦ τῇ μορφῇ, ἐν ᾗ ἦν πρὸ τοῦ Ὠριγένους.

(⁴) Praefat. in Genes. Τὸ αὐτὸ ἐν τῷ προλ. εἰς τὸν Ἡσαΐαν. «Προσθετέον καὶ τοῦτο, ὅτι ἐστὶν (ὁ Ἡσαΐας) Εὐαγγελιστὴς μᾶλλον ἢ Προφήτης. . . Ἐντεῦθεν συμπεραίνω, ὅτι οἱ Ο οὐκ ἠθέλησαν τότε παραδοῦναι σαφῶς τοῖς ἐθνικοῖς τὰ μυστήρια τῆς ἰδίας αὐτῶν πίστεως, ἵνα μὴ βάλωσι τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. Ὑμεῖς αὐτοὶ ἀναγιγνώσκοντες ταύτην τὴν μετάφρασιν, βλέπετε, ὅτι τὰ μυστήρια ἐν αὐτῇ εἰσι κεκαλυμμένα».

Ἀριστέας ὁ ὑπασπιστὴς αὐτοῦ τοῦ Πτολεμαίου, καὶ πολλῷ μετὰ τοῦτον ὁ Ἰώσηπος οὐδὲν τοιοῦτον εἶπον. Ἐν μιᾷ δὲ βασιλικῇ συνηγμένους αὐτοὺς λέγουσιν ἀντιβαλεῖν τὴν μετάφρασιν, ἀλλ' οὐ προφητεῦσαι. Ἄλλο γὰρ Προφήτης, ἄλλο δὲ μεταφραστής. Ἐκεῖ τὸ Πνεῦμα προλέγει, ἐνταῦθα παιδεία καὶ λόγος τὸ νοούμενον μεταφράζει» (1).

ε'.] «Μετὰ τὸ ἔργον τῶν πρὸ ἡμῶν καὶ ἡμεῖς ἐργαζόμεθα ἐν τῷ οἴκῳ τοῦ Κυρίου, τὸ ἐφ' ἡμῖν. Ἐκεῖνοι ἡρμήνευσαν πρὸ τῆς ἐλεύσεως τοῦ Χριστοῦ, καὶ ὅ,τι ἠγνόουν, ἐξετίθεσαν ἐν ἀμφιβόλῳ εἴδει· ἡμεῖς δὲ μετὰ τὸ πάθος καὶ τὴν Ἀνάστασιν Αὐτοῦ ἐκτίθεμεν οὐ προφητείαν, ἀλλ' ἱστορίαν» (2).

ς'.] «Εἰ παρὰ τοῖς Ἕλλησι μετὰ τὴν μετάφρασιν τῶν Ο, ὁπότε λάμπει τὸ φῶς τοῦ Εὐαγγελίου, ὁ Ἰουδαῖος Ἀκύλας, καὶ οἱ Ἰουδαΐζοντες αἱρετικοὶ Σύμμαχος καὶ Θεοδοτίων, ἐγένοντο δεκτοί, εἰ καὶ πολλὰ μυστήρια συνεκάλυψαν οὗτοι πανούργῳ ἑρμηνείᾳ, ὅμως ἐκ τῶν Ἑξαπλῶν αἱ μεταφράσεις αὐτῶν μένουσιν ἐν ταῖς Ἐκκλησίαις καὶ ἐξηγοῦνται ὑπὸ ἐκκλησιαστικῶν ἀνδρῶν, οὐ πολλῷ μᾶλλον οὐ προσήκει ἀπορρίπτειν ἐμὲ τὸν Χριστιανόν, τὸν ἐκ Χριστιανῶν γεννηθέντα, τὸν φέροντα τὴν σημαίαν τοῦ Σταυροῦ ἐπὶ τοῦ μετώπου, ἐμέ, οὗ ἅπασα ἡ φροντὶς ἦν: τὰ ἐλλείποντα ἀναπληρῶσαι, τὰ παρεφθαρμένα διορθῶσαι, καὶ τὰ μυστήρια τῆς πίστεως ἐκθεῖναι ἐν καθαρᾷ καὶ ἀκριβεῖ γλώσσῃ;» (3). Ἐνταῦθα, ὡς πρόδηλον, περιέχεται ἡ ἀπόκρισις καὶ εἰς τὰς ἀμφιβολίας τοῦ μακαρίου Αὐγουστίνου ἀναφορικῶς πρὸς τὴν ἑλληνικὴν Ἐκκλησίαν.

§. 186. Μεταβολαὶ τῶν γνωμῶν περὶ τῆς μεταφράσεως αὐτοῦ ἐν τῇ Δύσει. Ἀποφάνσεις περὶ αὐτῆς ἐν τῇ Ἀνατολῇ.

Αἱ δικαιολογήσεις ἀνδρὸς σοφοῦ καὶ φιλαλήθους ἦσαν τοιαῦται, ὥστε ἰσχυροτέρας τούτων καὶ παραστῆσαι ἀδύνατον ἦν. Καὶ ἐκεῖνοι, οἵτινες ἐξ ἀγάπης πρὸς τὴν ἀλήθειαν, ἀλλ' οὔπω γνόντες αὐτήν,

(1) Praefat. in Genes. Quest. 19 in Judic.

(2) Ibid. in Genes.

(3) Praefat. in Job. Praefat. in Esaiam.

ἀπεφαίνοντο τὸ πρῶτον οὐχὶ εὐνοϊκῶς περὶ τοῦ ἔργου τοῦ Ἱερωνύμου, οὐ μόνον ἐπαύσαντο κατηγοροῦντες τῆς μεταφράσεως αὐτοῦ, ἀλλὰ καὶ ἤρξαντο χρῆσθαι αὐτῇ. Τοιοῦτος ἦν πρὸς τοῖς ἄλλοις αὐτὸς ὁ μακάριος **Αὐγουστῖνος**, ὅς, ἀναγνοὺς τὴν ἀπολογίαν τοῦ Ἱερωνύμου, μετὰ χαρᾶς ἐχρῆτο τῇ νέᾳ αὐτοῦ μεταφράσει(¹). Ἄλλοι δὲ διετέλουν, ζῶντος τοῦ μακαρίου, ἐπαναλαμβάνοντες τὰς μομφὰς αὐτῶν, οὐχ ὅτι οὐκ ἐνόουν τὸ ὀρθὸν τῆς ἀπολογίας αὐτοῦ, ἀλλ' ὅτι ἠβούλοντο μέμφεσθαι. Τοῦτο ἦν γνωστὸν τῷ Ἱερωνύμῳ. «Ἄνθρωποι φθονεροί, ἔγραφε, νομίζουσι ψεκτὸν πᾶν ὅ,τι γράφω. Ἔσθ' ὅτε ἀσυνειδήτως διαρρηγνῦσι δημοσίᾳ αὐτὸ ἐκεῖνο, ὅπερ ἀναγινώσκουσι κρύφα. Καὶ ἐγὼ ἀναγκάζομαι ἀναβοᾶν καὶ προσεύχεσθαι . . . . . . Κύριε! ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας»(²). Ἡ Ἐκκλησία, ἡ κατ' ἐξοχὴν ἐδεῖτο διωρθωμένης λατινικῆς μεταφράσεως, ἐξετίμησε μετὰ τὸν θάνατον τοῦ θείου Πατρὸς τὸ ἔργον αὐτοῦ. Ἡ μετάφρασις αὐτοῦ ἐπεδοκιμάσθη καὶ εἰςήχθη εἰς γενικὴν χρῆσιν, καί τοι οἱ ἄνθρωποι πάλιν ἐγκατεμίγνυσαν κατόπιν τῷ ἀγαθῷ ἔργῳ ἱκανὰ ἴδια αὐτῶν, ἀνθρώπινα. **Γρηγόριος** ὁ Διάλογος ἐχρῆτο τῇ μεταφράσει τοῦ Ἱερωνύμου, ὥσπερ καὶ τῇ Ἰτάλᾳ (³). Ἐν τῇ ἀρχῇ τοῦ ζ'. αἰῶνος, κατὰ τὴν μαρτυρίαν Ἰσιδώρου τοῦ Ἱσπάλεως (τῷ 630), ἡ μετάφρασις τοῦ Ἱερωνύμου ἦν ἤδη ἐν κοινῇ χρήσει καθ' ὅλην τὴν Δύσιν (⁴). Ἡ ἀμάθεια τῶν ἀντιγραφέων, ἡ τόλμη ἀνωνύμων διορθωτῶν, ἀντικαταστησάντων ἐν εἴδει ἐπιδιορθώσεως πολλὰ χωρία τῆς Ἱερωνυμείου μεταφράσεως διὰ χωρίων τῆς Ἰτάλας(⁵), καὶ δὴ καὶ διὰ χωρίων τοῦ Φλαβίου(⁶), διέφθειραν

(¹) Ἴδ. August. Ep. 261 ad Audac, de doctor. Christ. IV. 7. Quest. 20. 54. in Deutor. in lib. Jos. 7, 15, 19. Περὶ ἄλλων Sulpic. Sev. Dial. c. 4.

(²) Praefat. in Ezdram. Τὸ αὐτὸ ἐν τῷ προλόγῳ εἰς τὰ Παραλειπόμ. «Δάκνουσί με, ὡς σύ, μεμφόμενοι δημοσίᾳ ἐκεῖνο, ὅπερ ἐν γωνίᾳ ἀναγινώσκουσι».

(³) Greg. Mang. Praefat. Moral. in Job. Moral. 20. 23. in Ezech. homil. X. c. 6.—

(⁴) De div. sive eccles. offic. I, 12. cujus editione omnes Ecclesiæ usquequaque utuntur».

(⁵) Ὁ Martianay δείκνυσι πολλὰς τοιαύτας μεταβολάς. Biblioth. divin. S. Opus Hieron. T. I. Πολλῷ ἀκριβεστέρα ἡ τοῦ Οὐαλλαρσί-ου (Vallarsii) ἔκδοσις.

(⁶) Τοῦτο πρὸ πολλοῦ δέδεικται

τέλεον τὸ ἅγιον ἔργον τοῦ Ἱερωνύμου. Ἐπὶ Καρόλου τοῦ μεγάλου ὁ σοφὸς Ἀλκουΐνος ἀνεδέξατο τὴν ἐπιδιόρθωσιν τοῦ ἱερωνυμείου κειμένου(1). Ἔπειτα δὲ μέχρι τοῦ ις΄. αἰῶνος ἀνεφάνησαν μέχρι τῶν 10 σοφῶν κριτικῶν ἐκδόσεων(2). Ἐννοεῖται, ὅτι μετὰ πάντα ταῦτα οὐ ῥάδιον διακρῖναι ἐν τῷ Ἱερωνύμῳ τὸν μακάριον καὶ πολλὰ εἰδότα Ἱερώνυμον. Ἐν τοσούτῳ ἡ ἐν Τριδέντῳ σύνοδος (τῷ 1545) ἐκήρυξεν, ὅτι ἐκτὸς τῆς Βουλγάτας πᾶσα ἄλλη μετάφρασίς ἐστιν αἵρεσις, καὶ τοῦτο δῆθεν κατὰ τὴν γνώμην τῆς ἀρχαίας Ἐκκλησίας καὶ τοῦ Ἱερωνύμου (3). Ἀλλὰ καταλίπωμεν τὰ ἀνθρώπινα τοῖς ἀνθρώποις! Ὁ

διὰ παραδειγμάτων. Ἴδ. God. de librorum text Origin. p. 428, καὶ Litterarisches Musaeum Stück. 1. 5. 34 35.

(1) Capitular. Reg. Franc. l. VI. C. 227. Siegeb. in Chron. ad an. 790. Alcuin. Ep. ad Gistam, ante 6 libr. comment. in S. Johannem. Carol. M. Praefat. Homil. Paul. Diac. Colon. 1530.

(2) Ἴδ. Περὶ τῶν κριτικῶν ἐκδ. παρὰ *Eichorn*. Einleit. in A. Test. th. 2. § 336. 337. παρὰ *Jahn* introd. in V. T. §. 64. *Rieglers* Krit. Geschichte d. Vulgata. Tubing. 1824.

(3) Ἴδ. αὐτόθ. [« Ἡ Δυτικὴ Ἐκκλησία, λέγει ὁ Οἰκονόμος, οὐδέποτε συνοδικῶς καὶ κανονικῶς οὔτε τὸ κῦρος τῆς Ἰτάλας κατήργησεν (ἧς τὰ λείψανα καὶ μέχρι σήμερον τιμᾷ, καὶ τιμήσει, ἕως οὗ σέβεται τοὺς ἐν τῇ Δύσει διαλάμψαντας θείους Πατέρας, Αὐγουστῖνον, καὶ Γρηγόριον, καὶ πρὸ πάντων τὸν μαθητὴν τῶν Ἀποστόλων Κλήμεντα), οὔτε τὴν Ἱερωνύμου Βουλγάταν ἐκύρωσε. Πρῶτον αὐτὴν ἀνεκήρυξεν αὐθεντικὴν καὶ κυρίαν ἡ ἐν Τριδέντῳ σύνοδος· ἀλλ' ὅμως καὶ αὕτη τὸ ἑβραϊκὸν κείμενον ῥητῶς καὶ ἐκπεφασμένως οὐκ ἐκύρωσεν ὡς αὐθεντικόν· οὐ μενοῦν. Σιωπηλῶς δὲ τοῦτο παρεδέχετο καὶ ἔστεγεν ἐξ ἀνάγκης, ὡς πολὺ μέρος αὐτοῦ μετεχούσης τῆς Βουλγάτας. Ὅθεν ὕστερον καὶ ἐπὶ τοῦ Ἀλκουΐνου καὶ ἐπὶ τῶν δύο Παπῶν διωρθοῦτο (εἴ γε καὶ διωρθοῦτο) κατὰ μέρη καὶ πρὸς τὸ ἑβραϊκόν. Διὰ τοῦτο καὶ τὰς τοῦ Παγνίνου καὶ τῶν ἄλλων νεωτέρας ἑρμηνείας ἔφερεν ἡ Δυτική, καὶ ὑπέθαλπεν ὡς προείδομεν (σελ. 916), ὅτι δὲ καὶ τοῦ ἑβραϊκοῦ καὶ τῆς Ἱερωνύμου Βουλγάτας τήν τε χρονολογίαν καὶ τὰς ἐν τοῖς κανονικοῖς βιβλίοις κολοβώσεις ἀπεκήρυξεν, ἐνστερνισαμένη πάντα ταῦτα κατὰ τοὺς Ο, πρόδηλον (βλ. σελ. 789, καὶ 961). Ὥστε καὶ ἡ Δυτικὴ Ἐκκλησία ἐκεῖνα μόνον τὰ μέρη τοῦ Ἰουδαϊκοῦ ἀπεδέξατο, ὅσα προσπεφύκασιν ἐν τῇ κατ' αὐτὴν Βουλγάτᾳ».

μακάριος Ἱερώνυμος λέγει ἐν ταῖς πρὸς τὸν Ρουφῖνον ἀποκρίσεσι: « Νομίζω, ὅτι οὐ κακῶς ὑπηρετῶ τοῖς Λατίνοις μου, — διότι καὶ οἱ Ἕλληνες, μετὰ τοσούτους μεταφραστάς, οὐκ ὤκνησαν μεταφράσαι ἐκ τοῦ λατινικοῦ τὴν μετάφρασίν μου » (1). Ἐν ἄλλῳ συγγράμματι ἀπεφήνατο περὶ τοῦ αὐτοῦ ὧδε: «Οἱ Λατῖνοι ὀφείλουσιν εἶναι μᾶλλον εὐγνώμονες, ὁρῶντες, ὅτι καὶ ἡ Ἑλλὰς λαμβάνει τι παρ᾽ αὐτῶν»(2). Ἐν δὲ τῷ συγγράμματι de viris illustribus (περὶ τῶν ἐνδόξων ἀνδρῶν) γράφει περὶ τοῦ Σωφρονίου, ὅτι «τὰ ἐμὰ συγγράμματα εἰς τὸν ἕλληνα λόγον εὐφυῶς μετέφρασεν, ὡσαύτως καὶ τὴν ἐκ τοῦ ἑβραϊκοῦ λατινικὴν ἑρμηνείαν τῶν Προφητῶν, τὴν ὑπ᾽ ἐμοῦ γενομένην, ἔτι δὲ καὶ τὴν τῶν Ψαλμῶν » (3). Ἡ μετάφρασις αὕτη τοῦ Σωφρονίου οὔπω ἐξεδόθη. Γνωστὸν ὅμως ἐστὶν, ὅτι Προκόπιος ὁ Γαζαῖος καὶ Ἡσύχιος ὁ Ἱεροσολύμων ἐχρῶντο ἐπωφελῶς τῇ μεταφράσει ταύτῃ τοῦ Σωφρονίου ἐν ταῖς εἰς τὴν ἁγίαν Γραφὴν ἑρμηνείαις αὐτῶν. Ἡ ἑλληνικὴ τοίνυν Ἐκκλησία ἐπωφελεῖτο τοῦ ἔργου τοῦ μακαρίου Ἱερωνύμου[*].

Περὶ τῶν Ο, ἑρμ. τῆς Π. Θ. Δ. βιβλ. Γ΄. κεφ. 23. σελ. 1013—1014. Σ. Μ.]. —

(1) Apologet. adv. Rufin. lib. 2.

(2) Praefat. in Ezdam.

(3) De vir. illustr. c. 134.

[*] Τίς ἦν οὗτος ὁ Σωφρόνιος; Κατὰ τὸν Οἰκονόμον « Οὐ μόνος ὁ Δοιδερλῖνος, ἀλλὰ καὶ ἄλλοι σοφοὶ κατὰ λάθος ἔπλασαν τὸν Σωφρόνιον τοῦτον Οἰκουμενικὸν Πατριάρχην! Ἀλλ᾽ οὐδεὶς Σωφρόνιος ἐπατριάρχευσεν ἐν Κωνσταντινουπόλει οὔτε πρότερον, οὔτε πολλοῖς αἰῶσιν ὕστερον Ἱερωνύμου. Μόλις τῷ 1465 ἐγένετο Πατριάρχης Σωφρόνιος ὁ Α΄. (ὁ Συρόπουλος). Ἄλλοι δὲ τὸν παρ᾽ Ἱερωνύμῳ Σωφρόνιον εἶπον Πατριάρχην Ἱεροσολύμων, συγχέοντες δηλ. τὸν 240 ἔτεσι μετὰ τὸν Ἱερώνυμον (τῷ 629) πατριαρχεύσαντα ἐν Ἱεροσολύμοις ἀοίδιμον Σωφρόνιον. Ὁ δὲ παρ᾽ Ἱερωνύμῳ φαίνεταί τις ἱερομόναχος, εὐλαβὴς αὐτοῦ μαθητής, ὅστις χαριζόμενος τῷ διδασκάλῳ, ἐξελλήνισεν ἐκ τοῦ λατινικοῦ οὐχὶ πᾶσαν τὴν Ἱερωνύμου μετάφρασιν, ἀλλὰ μόνον τὸν Ψαλτῆρα καὶ τοὺς Προφήτας (ὡς αὐτὸς λέγει πάλιν ὁ Ἱερώνυμος). Ἀλλὰ ταύτης τῆς τοῦ Σωφρονίου σκοτεινῆς ἑρμηνείας (εἴ γε καὶ ὅλως ἐκ τοῦ γραφείου αὐτοῦ προέκυψεν) οὐδ᾽ ἴχνος, οὐδ᾽ ὄνομα, ἐφάνη ἢ ἠκούσθη οὐδαμοῦ τῆς Ἀνατολικῆς, ἀλλ᾽ οὐδ᾽ αὐτῆς τῆς Δυτικῆς Ἐκκλησίας, οὐδ᾽ ἄλλοθεν οὐδαμόθεν οἴδαμεν οὐδὲν περὶ τοῦ Σωφρονίου τούτου, εἰ μὴ μόνον ἐξ ὧν ἔγραφε περὶ αὐτοῦ αὐτὸς μόνος ὁ Ἱερώνυμος· ἢ τίς ἦν ὁ ἀνὴρ οὗτος, ὥστε καὶ μνη-

§. 187. Ὁ Ἱερώνυμος, ὡς ἑρμηνευτὴς τῆς ἁγίας Γραφῆς.

Ὁ μακάριος Ἱερώνυμος διὰ τοῦ ἰδίου ζήλου διήγειρεν ἐν τῇ Δύσει τὴν πρὸς τὸν λόγον τοῦ Θεοῦ ἀγάπην. Ἐκτὸς τῶν ὑπομνημάτων εἰς τοὺς τέσσαρας μεγάλους Προφήτας καὶ εἰς τοὺς δώδεκα μικρούς, εἰς τὸν Ἐκκλησιαστήν, εἰς τὴν Γένεσιν, εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου, καὶ εἰς τέσσαρας ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου(1), ἔγραψε πλείστας ἐπιστολὰς πρὸς τοὺς ἐν τῇ Δύσει(2), καὶ ἄλλα συγγράμματα περὶ τῆς ἁγίας Γραφῆς. Μέθοδος τῆς ἑρμηνείας τοῦ μακαρίου Ἱερωνύμου ἐστὶν ἥδε: α′.] τὸ πρῶτον ἀναφέρει τὴν ἀρχαίαν μετάφρασιν καὶ ἔπειτα τὴν τοῦ κειμένου κατὰ τὸ πρωτότυπον, παραβάλλει κατόπιν τὰς ἄλλας μεταφράσεις, ἐ-

μονεύεσθαι ὡς νέος ἑρμηνεὺς τῶν θείων Γραφῶν; ἐν ᾧ καὶ αὐτοῦ τοῦ διδασκάλου αὐτοῦ, τοῦ Ἱερωνύμου, τὴν ἐκ τοῦ ἑβραϊκοῦ ἑρμηνείαν οὔτε ἡ Δυτικὴ Ἐκκλησία κατ' ἀρχὰς ἀπεδέξατο, καὶ ἡ Ἀνατολικὴ διὰ τῆς βαθείας σιωπῆς αὐτῆς ἀπεδοκίμασε. Τοῦ Σωφρονίου δὲ τούτου ἓν καὶ μόνον σώζεται μετάφρασμα, καὶ τοῦτο ἀμφιβαλλόμενον, ἡ ἑλληνικὴ μετάφρασις τοῦ Ἱερωνυμείου καταλόγου τῶν ἐκκλησιαστικῶν συγγραφέων, μετὰ τοῦ πρωτοτύπου συνεκδιδομένη ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Ἱερωνύμου » (Περὶ τῶν Ο, ἑρμην. τῆς Π. Θ. Γ. βιβλ. γ′. κεφ. ια′. σελ. 373). Σ. Μ.—

(1) Εἰς τὰς πρὸς Γαλάτας, Ἐφεσίους, Τίτον, καὶ Φιλήμονα.

(2) Κατὰ τὴν ἔκδοσιν τοῦ Martianay ἐν τῷ δευτέρῳ τόμῳ εὑρηνται 18 ἐπιστολαί, τὸ μὲν κριτικαί, τὸ δὲ ἐξηγητικαί, περὶ τῆς Π. Δ. Μᾶλλον τῶν ἄλλων ἀξιοσημείωτοί εἰσι αἱ πρὸς Sunniam et Fretelam μετὰ σημειώσεων εἰς διαφόρους ἑλληνικὰς καὶ λατινικὰς ἀναγνώσεις τοῦ ψαλτηρίου. Ἐν ταῖς ἐπιστολαῖς ἡρμηνεύθησαν οἱ ψαλμοὶ 44, 89, 118, 126, καὶ ἡ λέξις διάψαλμα (Ep. 28, 30, 34, 65, 126, 140). Πρὸς τὸν Δάμασον εἰς τὰς ἐρωτήσεις περὶ τοῦ βιβλίου τῆς Γενέσεως (Ep. 36, 73)· περὶ τῶν στολῶν τῶν ἱερέων (Ep. 64, 29). Ἐν τῷ τετάρτῳ τόμῳ 9 ἐπιστολαὶ ἐξηγητικαὶ περὶ τῆς Κ. Δ. Τὰ μάλιστα ἀξιοσημείωτοί εἰσιν αἱ ad Hidibiam et Algasiam μεθ' ἑρμηνείας πολλῶν χωρίων. Τὸ αὐτὸ in Ep. 55, 59, 119. Ἐνταῦθα τάσσονται ὡσαύτως αἱ ἐπιστολαὶ ad Pammachium: de optimo genere interpretandi καὶ ad Paulinum presbyt : de studio Scripturarum. —

ρευνᾷ τὴν ἔννοιαν τοῦ κειμένου ἐν τῇ σημασίᾳ τῶν λέξεων τοῦ πρωτοτύπου, στρέφει τὴν προσοχὴν αὐτοῦ εἰς τὸν σύνδεσμον τῶν ἐννοιῶν καὶ εἰς τὰ παράλληλα χωρία τῆς Γραφῆς· ἔσθ' ὅτε πρὸς ἐξήγησιν τοῦ κειμένου τρέπεται εἰς τὴν Γεωγραφίαν, τὴν Ἱστορίαν, καὶ καθόλου τὰς ἀρχαιότητας (¹) · β'.] κανόνα ἡγεῖτο περὶ τῶν σαφῶν μὲν λέξεων ὀλίγα λέγειν, τὰς δὲ σκοτεινὰς ἑρμηνεύειν διὰ βραχέων, ἐν δὲ ταῖς ἀμφιβόλοις ἐμμένειν διὰ μελέτης (²)· γ'.] ἐκεῖ, ἔνθα σαφὴς προφητεία ἐκφέρεται περὶ τοῦ μέλλοντος καὶ ἰδίως περὶ τοῦ Χριστοῦ, καὶ ἐν ταῖς δογματικαῖς καὶ ἠθικαῖς λέξεσι, ἐφρόνει, ὅτι οὐκ ἔξεστι ζητεῖν μεταφορικὴν ἔννοιαν (³)· δ'.] εἰ ἐν τῇ Καινῇ Διαθήκῃ γίγνεται μνεία ἑρμηνείας προφητικοῦ τινος χωρίου, ὁ μακάριος Ἱερώνυμος ἐδέχετο αὐτὴν μετ' εὐσεβείας ὡς ἀκριβῆ ἔννοιαν τῆς προφητείας, καὶ κατ' αὐτὴν ἡρμήνευε τὴν προφητείαν ἐν τῇ ἀκολουθίᾳ αὐτῆς(⁴)· ε'.] ἀνέφερεν ἐν ταῖς ἑρμηνείαις αὐτοῦ τὰς γνώμας τῶν ἄλλων, καὶ ἐνόμιζε καθῆκον ἔχειν ὑπ' ὄψιν αὐτάς (⁵), τὴν δὲ παραδεδεγμένην ὑπὸ τῆς Ἐκκλησίας καθ' ὁλοκληρίαν ἐπιδοκιμάζειν (⁶). ς'.] Ἐν ταῖς ἑρμηνείαις αὐτοῦ ἀποπνέει εἰλικρινὴς εὐσέβεια. Ἦν δὲ βέβαιος, ὅτι πρὸς κατάληψιν τῆς ἁγίας Γραφῆς ἀνάγκη αἰτεῖσθαι διὰ τῆς προσευχῆς τὸν ἐξ ὕψους φωτισμόν. Διὸ καὶ αὐτὸς προσηύχετο καὶ προὔτρεπε καὶ τοὺς ἄλλους προσεύχεσθαι περὶ τοῦ διὰ τῆς χάριτος φωτισμοῦ(⁷).

(¹) Praefat. comment. in Osee· in Zachariam, C. 4. V. 2. C. 6. V. 9. in Daniel. C. 11. V. 44. 5.

(²) Praefat. lib. 3. Comment. in epist. ad Galat. Praefat. commentar. in Jonam.

(³) Comment. in Malach. C. 2. V. 4. Comment. in Zachar. C. 8. V. 16. 23.

(⁴) Comment. in Joel. C. 2. V. 28. in Zachar. C. 3. V. 1 S. Praefat. in lib. 6. commentar. in Jeremiam.—

(⁵) Proem. in Math. « Omnes legere, qui in Evangelia scripsere, deinde, adhibito judicio, quæ optima sunt, excerpere». Advers. Rufin. lib. 1. p. 365. « Commentatoris est officium multorum sententias promere ».—

(⁶) Adv. Rufin. lib. 1. p. 373. «Origene dicente contraria, nos ecclesiasticum sensum secuti sumus. Ἴδ. ἔτι comment. in Ezechiel. C. 36. V. 16. S. Comment. in Daniel. C. 3. V. 37.

(⁷) Ep. 18. §. 6. 140. §. 1. Praefat. in ep. ad Philem. Praefat 1. 3. comment. in ep. ad Galatas· in Osee, in Michæam. C. 1. V. 10.

Τοιαύτη ἡ κυρία μέθοδος, ἣ ἀκολουθεῖ ὁ Ἱερώνυμος ἐν τοῖς ἑαυτοῦ ὑπομνήμασιν. Ἐννοεῖται, ὅτι παρ' ὀλίγοις ἀρχαίοις δυνατὸν εὑρεῖν ἐκεῖνο, ὅπερ εὑρίσκομεν ἐν ταῖς ἑρμηνείαις τοῦ Ἱερωνύμου, τοιαύτην τοῦ ἑρμηνεύειν μέθοδον ἔχοντος. Ὁ μακάριος Ἱερώνυμος, οὕτω καλῶς εἰδὼς τὸ ἑβραϊκὸν γράμμα καὶ τὰς ἑβραϊκὰς ἀρχαιότητας, καὶ ὁ ὅσιος Ἐφραίμ, εἰσιν ἀναμφιβόλως οἱ πρῶτοι ἐν τοῖς πατράσι διδάσκαλοι περὶ τὴν ἑρμηνείαν τῆς Παλαιᾶς Διαθήκης. Ὁ Ἱερώνυμος οὕτω πολὺ προπαρεσκευάσθη περὶ τὸ ἔργον τοῦ ἑρμηνευτοῦ καὶ οὕτω πολλὰ πρὸς τοῦτο ἐκτήσατο ἑρμηνευτικὰ βοηθήματα ὡς οὐδεὶς ἄλλος τῶν Πατέρων. Ἐντεῦθεν οὐ μόνον ἡ λατινικὴ Ἐκκλησία ἐλευθέρως ἐν τῇ γνώσει τῆς λατινικῆς γλώσσης ἐχρῆτο ταῖς ἑρμηνείαις τοῦ Ἱερωνύμου, ἀλλὰ καὶ ἐν τῇ ἑλληνικῇ ἐπειρῶντο ποιεῖσθαι χρῆσιν τῶν πόνων αὐτοῦ (1).

Ἀλλ' ὅμως οὐ δεῖ νομίζειν, ὅτι παρὰ τῷ πολυμαθεῖ Ἱερωνύμῳ:

α'.] Πᾶσα ἑρμηνεία ἐστὶν ἀναμφηρίστως ὀρθή. Ἔσθ' ὅτε ὁ μακάριος ἀπέτινε τὴν ὀφειλὴν τῇ ἀνθρωπίνῃ ἀδυναμίᾳ, ἐκτιθεὶς τὰς ἐτυμολογίας καὶ εἰκασίας τῶν ραββίνων ἀντὶ τῆς ἁπλῆς καὶ φυσικῆς σημασίας τῶν λέξεων.

β'.] Ἐξαίρετον ἔργον ἐστὶ τὸ μὴ πεποιθέναι ἐπὶ τῇ ἰδίᾳ ἐννοίᾳ ἀλλὰ παραβάλλειν αὐτὴν πρὸς τὰς τῶν ἄλλων ἐννοίας, κατ' ἐξοχὴν δὲ πρὸς τὴν κοινὴν τῆς Ἐκκλησίας κρίσιν· καὶ τοῦτο τὸ ἐξαίρετον ἔργον εἶχεν ὑπ' ὄψιν ὁ μακάριος Ἱερώνυμος. Ἀδύνατον ὅμως μὴ ὁμολογῆσαι, ὅ,τι ὁ Ρουφῖνος δικαίως ἐμέμφετο αὐτόν, ὅτι δηλαδὴ συλλέγων διαφόρους καὶ πολλάκις ἀντιφασκούσας ἑρμηνείας, οὐκ ἀείποτε ἐδείκνυ τὴν τούτων ἀξίαν. Ὁ Ἱερώνυμος ἀπελογεῖτο λέγων, ὅτι παρίστη τῇ κρίσει τῶν ἄλλων ἐκλέγειν τὴν κρείττονα. Ἀλλὰ τί δύναται ποιῆσαι ὁ μὴ λαβὼν τὸ δῶρον τοῦ κρίνειν; Ὁ τοιοῦτος οὐκ ἔχει δίκαιον δυσχεραίνειν, διότι καταβαρύνουσι καὶ ἐπισκοτίζουσι τὴν διάνοιαν αὐτοῦ ἐκεῖνοι, οἵτινες ὀφείλουσι διδάσκειν;

(1) Κατὰ τὰ ἑλλην. χειρόγρ τῆς Κοϊσλινιανῆς βιβλιοθ. τοῦ ια'. αἰῶνος ἐν τῇ συλλογῇ τῶν εἰς τοὺς ψαλμοὺς ἑρμηνειῶν παράγονται πρὸς τοῖς ἄλλοις καὶ ἑρμηνεῖαι Ἱερωνύμου πρεσβυτέρου τῶν Ἱεροσολύμων. Bibl. Coislinian. pag. 137.

γ'.] Ἐπειδὴ ἐγράφησαν μετὰ σπουδῆς τὰ ὑπομνήματα αὐτοῦ, ἡ λέξις αὐτῶν οὐκ ἔστιν ἐλευθέρα σφαλμάτων, ὡς καὶ αὐτὸς ὡμολόγει τοῦτο (1).

δ'.] Τὰ ἄριστα τῶν ὑπομνημάτων αὐτοῦ, καίτοι τὰ πάντα εἰσὶ λίαν σπουδαῖά, εἰσιν ὁμολογουμένως τὰ εἰς τοὺς μεγάλους Προφήτας καὶ τὰ εἰς τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου.

Ὁ μακάριος διδάσκαλος ἠσχολεῖτο καὶ περὶ τὴν ἐπεξεργασίαν τῶν ἀναγκαίων τῷ ἑρμηνευτῇ βοηθημάτων. Τὸ βιβλίον *de situ et nominibus locorum hebraicorum* (περὶ τῆς θέσεως καὶ τῶν ὀνομάτων τῶν ἑβραϊκῶν τόπων) περιέχει ἐξαίρετον περιγραφὴν τῶν ἐν τῇ ἁγίᾳ Γραφῇ μνημονευομένων τόπων. Κατὰ μέγα μέρος ἐστὶ μετάφρασις τοῦ περὶ τοῦ αὐτοῦ ἀντικειμένου συγγράμματος τοῦ Εὐσεβίου· ἀλλ᾽ ὁ μακάριος Ἱερώνυμος ὢν προσεκτικὸς καὶ σοφὸς αὐτόπτης τῶν τόπων, ἐχρήσατο ταῖς ἰδίαις αὐτοῦ γνώσεσιν, ἵνα ἐπιδιορθώσῃ τὰ σφάλματα τοῦ Εὐσεβίου καὶ καταστήσῃ κρεῖσσον ἅπαν τὸ σύγγραμμα (2). Τὴν ἑρμηνείαν τῶν ἑβραϊκῶν ὀνομάτων (liber interpretationum Nominum Hebraicorum), σύγγραμμα τοῦ Φίλωνος, συμπληρωθὲν ὑπὸ τοῦ Ὠριγένους, μετέφρασε καὶ ἐπεθεώρησεν ἐκ νέου, διαθεὶς τὴν ἐπιθεώρησιν κατὰ τὰ βιβλία τῆς Γραφῆς καὶ κατ᾽ ἀλφάβητον. Τὸ σύγγραμμα τοῦτο, καίπερ ἐπὶ πολὺν χρόνον χρησιμεῦσαν ἔν τε τῇ Ἀν. καὶ τῇ Δ. Ἐκκλησίᾳ, ὡς ὁδηγός, διὰ τὰς ἀλληγορικὰς ἑρμηνείας τῆς Γραφῆς, περιέχει πολλὰ αὐθαίρετα καὶ ἐσφαλμένα (3).

---

(1) Praefat. in 2 lib. comment. in ep. ad Ephesios, p. 825. Sciatis me non cogitatum, diu limatum, proferre sermonem, sed ad revelanda Scripturarum uti verbis pæne de trivio, et interdum per singulos dies usque ad numerum mille versuum pervenire.—

(2) Ὁ *Bonfrère* ἐξέδωκε τοῦτο τὸ σύγγραμμα, Paris 1631. 1659. μετὰ σημειώσεων καὶ πίνακος, ἀλλὰ μετ᾽ αὐθαιρέτου μεταβολῆς τῆς τάξεως. Τούτῳ ἠκολούθησε μετ᾽ οὐ μεγάλων διαφορῶν ὁ Martianay. κάλλιον ἐξέδωκεν ὁ Le Clerc, πλουτίσας τὴν ἔκδοσιν τοῦ Bonfrère τῷ συγγράμματι τοῦ Brocard: Locorum Terrae Sanctae exactissima descripiio. Amstelod. 1707. ὁ Kallarius ἐξέδωκεν ἰδιαιτέρως τὸ πόνημα τοῦ Ἱερωνύμου, ἐπιδιορθώσας αὐτὸ ἐκ χειρογρ. Τ. 3. p. 121.

(3) Op. T. 4.—Περὶ τῶν ὀνομάτων τοῦ Θεοῦ πραγματεύεται ἐν ταῖς ἐπιστ. 20, 25, 26.

§. 188· II. Δογματικὴ διδασκαλία αὐτοῦ. III. Ἱστορικὰ αὐτοῦ συγγράμματα.

Ὁ μακάριος Ἱερώνυμος οὐ συνέγραψε πολλὰ δογματικὰ συγγράμματα. Ἀλλὰ τὰ συγγράμματα τοῦ ἐξόχου ἑρμηνευτοῦ τῆς ἁγίας Γραφῆς εἰσι πολύτιμα τῇ δογματικῇ. Ἐν τῷ διαλόγῳ κατὰ Λουκιφεριανῶν (*Dialogus contra Luciferianos*) ἑρμηνεύει τὴν σημασίαν τῆς ἀληθοῦς χριστιανικῆς Ἐκκλησίας. «Ἐν ἐκείνῃ τῇ Ἐκκλησίᾳ, λέγει, δεῖ διαμένειν, ἢ ἐθεμελιώθη ὑπὸ τῶν Ἀποστόλων, καὶ διαρκεῖ ἔτι καὶ νῦν. Ἐάν που ἀκούσῃς ἐκείνους, οἳ λέγονται τοῦ Χριστοῦ, οὐχὶ ἀπὸ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἀλλ' ἀπ' ἄλλου τινὸς ὀνομάζεσθαι, ὡς δηλονότι τοὺς Μαρκιωνίτας, τοὺς Οὐαλεντινιανούς...γίγνωσκε ὅτι οὐκ ἔστιν Ἐκκλησία τοῦ Χριστοῦ, ἀλλὰ συναγωγὴ τοῦ Ἀντιχρίστου. Ἐξ αὐτοῦ γὰρ τούτου, ὅτι κατεστάθησαν ἔπειτα, δείκνυται εἶναι αὐτοὺς ἐκείνους, οὓς ὁ Ἀπόστολος μέλλοντας προεῖπε». Ἐνταῦθα ὡσαύτως διδάσκει: «Ὡς δὲ οὐ δεῖ ἐκ νέου χειροτονεῖν τοὺς ὑπὸ αἱρετικῶν χειροτονηθέντας, οὕτω περιττὸν καὶ ἀναβαπτίζειν τοὺς ὑπ' αὐτῶν βαπτισθέντας». Δεικνὺς δὲ πρὸς ὑποστήριξιν τούτου τὴν παράδοσιν, γράφει περὶ τῆς σημασίας αὐτῆς: «Εἴ τινι οὐκ ἤρκουν αἱ τῆς Γραφῆς βεβαιώσεις, ἡ καθολικὴ συμφωνία εἶχεν ἂν σπουδαιότητα ἐντολῆς» (1). Ἐν τῇ πρὸς Μαρκέλλαν κη'. ἐπιστολῇ ἐλέγχει τὰς πλάνας τῶν Μοντανιστῶν (2). Κατὰ τῶν Πελαγιανῶν ἔγραψε δύο συγγράμματα (3). Κατ' αὐτῶν ἔγραφεν, ὅτι «οὐκ ἔστιν ἄνθρωπος ἄνευ ἁμαρτίας, ἅπαντες διεφθάρησαν ἐν τῷ Ἀδάμ, καὶ ἄνευ τῆς χάριτος τοῦ Θεοῦ οὐδὲν ἀγαθὸν δυνάμεθα ποιῆσαι» (4). «Βούλεσθαι

---

(1) Op. T. 4. p. 2. pag. 289-306. Κατὰ τῶν Μοντανιστῶν γράφει ἐν τῇ μα'. ἐπιστ., καὶ κατὰ Ναυατιανῶν ἐν ἐπ. μδ'. περὶ ἱεραρχίας ἐν ἐπ. ρμς'.—

(2) T. 4. P. 2. ep. 28. [ἐν τῇ πρὸς Μαρκέλλαν κη'. ἐπ. οὐ γράφει κατὰ τῶν πλανῶν τῶν Μοντανιστῶν, ἀλλ' ἑρμηνεύει αὐτῇ τὴν σημασίαν τῆς λέξεως διάψαλμα. Σ. Μ].—

(3) Dialogus adversus Pelagianos, lib. III. ep. ad Ctesiphon.

(4) Ep ad Ctesiph. 1, 1019. Dialog. lib. 2, 679. «Omnes homines aut antiqui propagatoris Adam, aut suo nomine tenentur obnoxii.—

καὶ τρέχειν ἐμόν ἐστιν· ἀλλ᾽ αὐτὸ τὸ ἐμὸν ἄνευ τῆς διὰ παντὸς βοηθείας τοῦ Θεοῦ οὐκ ἔσται ἐμόν» [1]. «Οὐδέποτε ἀκούσῃ παρ᾽ ἐμοῦ, ὅτι ἐκάλεσα τὴν φύσιν κακήν» [2]. Ἡ ψυχὴ εὑρίσκεται μεταξὺ τῆς γῆς καὶ τοῦ πυρός, μεταξὺ τῆς σαρκὸς καὶ τοῦ πνεύματος, παραδιδομένη μὲν τῇ σαρκί, καλεῖται σάρξ, τῷ δὲ πνεύματι πνεῦμα» [3]. Ὁ μακάριος Ἱερώνυμος ἐδίδασκε σαφῶς περὶ τῆς σωτηριώδους σημασίας τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ [4], περὶ τοῦ ἐνιαίου προσώπου ἐν

---

(1) Ep. ad Ctesiphon. §. 6. « Velle et currere meum est. sed ipsum meum sine Dei semper auxilio non erit meum». [Ἐν τῇ 97 ἐπ. ad Demetriad. λέγει: « Ubi autem gratia, non operum retributio, sed donantis est largitas; ut impleatur dictum Apostoli : *Non est volentis, neque currentis, sed Dei miserentis.* Et tamen velle et nolle nostrum est; ipsumque quod nostrum est, sine Dei miseratione nostrum non est». Ἐν τῷ Α΄. βιβλ. Dialog. advers. Pelagian. «Haec hominis summa est justitia, quidquid potuerit habere virtutis, non suum putare esse, sed Domini, qui largitus est». Ἐν τῇ ἐπιστ. ad Cyprian. « Homo a principio conditionis suæ Deo utitur adjutore: et quum illius sit gratiæ quod creatus est, illiusque misericordiæ quod subsistit et vivit; nihil boni operis agere potest absque eo, qui ita concessit liberum arbitrium, ut suam per singula opera gratiam non negaret. Ne libertas arbitrii redundaret ad injuriam conditoris; et ad ejus contumatiam, qui ideo liber conditus est, ut absque Deo nihil esse se noverit». Σ. Μ.]. —

(2) Ad Ctesiphon. - Comment. ad Gal. VII. p. 391.

(3) In ep. ad Galat. V, 17.

(4) Ep. ad Damasum (int. critic. 3. al. 146). «Reconciliati sumus Deo, habentes propitiatorem Dominum nostrum Jesum Christum , qui delevit chirographiam mortis— triumphans in ligno ». Πρβλ. ep 54 ad Pammach. ep. 32 ad Julianum [Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ποιεῖται λόγον in cap. I. epist. ad Galat. Ep. 86. ad Eustoch.—Comment. lib. I. in cap. 1. epist. ad Ephesios. Ep. ad Hedibiam. in cap. 4. epist. ad Ephes. Περὶ τῆς ἀνάγκης τῆς εἰς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστεως ποιεῖται λόγον in comment. lib. 1. in cap. 2 epist. ad Galat. Comment. lib. 4 in cap. 14 Ezech. Comment. lib. 1 in cap. 1 epist. ad Galat. Σ. Μ.].

τῷ Χριστῷ (1), περὶ τῆς σωτηριώδους δυνάμεως τοῦ βαπτίσματος (2), τοῦ μύρου (3), τῆς ἁγίας Εὐχαριστίας (4), τῆς ἐξομολογήσεως (5), καὶ τοῦ γάμου (6). Ἔν τισιν ἐπιστολαῖς ἤλεγξε τὴν πλάνην τῶν Ἀρειανῶν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἡρμήνευσε τὴν λέξιν ὑ π ό σ τ α σ ι ς (7). Γνωστὰ ἐν τῇ ἑλληνικῇ γλώσσῃ ὑπὸ τὸ ὄνομα τοῦ πρεσβυτέρου Ἱερωνύμου ὑπάρχουσι τὰ ἑξῆς συγγραμμάτια: «Διάλογος περὶ τῆς ἁγίας Τριάδος, ἐρώτησις Ἰουδαίου πρὸς τὸν χριστιανόν» καὶ «φιλοπονία παντὶ χριστιανῷ ὠφελοῦσα» (ἐν τῇ ἐκδόσει τοῦ Morelli ἡ ἐπιγραφὴ ἔχει ὧδε: S. Patris Hieronymi graeci commentarius de effectu baptismi et notis Christiani) (8). Ἐκ τοῦ πρώτου Διαλόγου ἀνέφερεν ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἓν χωρίον περὶ τοῦ σταυροῦ, καλῶν τὸν συγγραφέα Ἱερώνυμον

(1) «Heac dicimus non quod alium Deum, alium hominem esse credamus, et duas personas faciamus in uno Filio Dei . . . , sed unus atque idem Filius Dei et Filius hominis est : et quidquid loquitur, aliud referimus ad divinam ejus gloriam; aliud ad salutem nostram. Pro quibus non arbritratus est se esse æqualem Deo; sed semetipsum exinanivit, formam servi accipiens, factus obediens Patri usque ad mortem, mortem autem crucis. Et Verbum caro factum est; et habitavit in nobis». Ep. ad Hedibiam pag. 179.

(2) «In lavacro omnia peccata merguntur». ep. 82 ad Oceanum.

(3) Dialog. advers. Lucifer. c. 2. 9. —

(4) Ad Damasum Ep. 3 (al. 146), ad Hedibiam [Περὶ τοῦ παναγίου τούτου μυστηρίου ποιεῖται λόγον καὶ πολλαχοῦ ἄλλοθι, οἷον comment. in cap. I epist. ad Titum. Ep. ad Marcellam ap Hieron. pag. 547, tom. 4. Lib. 12 in cap. 41 Ezech. p. 998. Ep. ad Fabiolam de vesto sacerdotali, p. 577. tom. 2. Ep. 5 ad Heliodor. p. 10. ep. 101 ad Evangelum. p. 802. Lib. 2 advers. Jovinian. p. 218. in cap. 1. Malachiæ, p. 1811. Lib. 1. in cap. 1 ep. ad Ephes. p. 328. Lib. 4 comment. in cap 26 Math. p. 128. Ep. 95 ad Rusticum Monachum, p. 778. Σ. Μ.].—

(5) Ep. 41 ad Pammach. lib. 3 comment. in cap. 16 Mathaei, p. 75.

(6) Ep. ad Ammendum (inter crit. 4. al. 1471.

(7) Ad Damasum et Marcum Ep. 14—16.—

(8) Ἀμφότερα τὰ συγγράμματα ταῦτα ἐξεδόθησαν ὑπὸ τοῦ Δακουμίου μετὰ τῶν συγγραμμάτων τοῦ Γενναδίου, Gygneæ, 1677, 1680, ὑπὸ τοῦ Γαλλανδίου in tom. VII. Bibl.

πρεσβύτερον Ἱεροσολύμων [*]. Αὐτὸς ὁ μακάριος Ἱερώνυμος ἔγραψεν, ὅτι συγγράμματά τινα αὐτοῦ μετεφράσθησαν εἰς τὴν ἑλληνικὴν γλῶσσαν (¹). Κατὰ τὸ περιεχόμενον οἱ διάλογοι πληρέστατα προσήκουσι τῷ μακαρίῳ Ἱερωνύμῳ, πολὺν χρόνον ζήσαντι ἐν Ἱεροσολύμοις μεταξὺ Ἰουδαίων. Τέλος ἔγραψε συγγράμματά τινα κατὰ τοῦ ὠριγενισμοῦ. Πρὸς τοῖς ἄλλοις ἐν τῇ ἐπιστολῇ ad Avitum κατέδειξε τὰς ἐν τῷ περὶ ἀρχῶν συγγράμματι τοῦ Ὠριγένους ἐπικινδύνους πλάνας (²). Διὰ τοῦτο ἐν τῇ πρὸς Θεόφιλον ἐπιστολῇ κατὰ τοῦ Ἱεροσολύμων Ἰωάννου αἱ περὶ ἀναστάσεως κρίσεις αὐτοῦ ὄζουσι παχυλοῦ ἀνθρωπομορφισμοῦ (³).

III. Ἐν τοῖς ἱστορικοῖς συγγράμμασι τοῦ ὁσίου Ἱερωνύμου κατατάσσονται: τὸ σύγγραμμα *de viris illustribus* (περὶ τῶν ἐνδόξων ἀνδρῶν), *Chronicon* (τὸ Χρονικόν), καὶ ἡ ἱστορία εἰς τοὺς βίους τῶν ἁγίων Πατέρων τῶν Αἰγυπτίων. Τὸ πρῶτον τῶν συγγραμμάτων τούτων ἐστὶ πολυτιμότατον μνημεῖον τῆς ἀρχαιότητος. Περιέχει βραχείας εἰδήσεις περὶ τοῦ βίου καὶ τῶν συγγραμμάτων τῶν διδασκάλων τῆς Ἐκκλησίας, τῶν ἀκμασάντων κατὰ τοὺς πρώτους τέσσαρας αἰῶνας τοῦ χριστιανισμοῦ. Δείκνυσι δὲ ἐν τῷ συγγραφεῖ εὐρεῖαν γνῶσιν τῶν συγγραμμάτων τῆς ἀρχαιότητος, ἀκριβῆ ἐξέτασιν τῆς γνησιότητος καὶ ἀξίας αὐτῶν, καὶ θερμὴν πρὸς τὴν πίστιν ἀγάπην. Ἐγράφη, κατ' αἴτησιν τοῦ ἐπάρχου Δέξτρου, ὅπως ἐλέγξῃ τὰς συκοφαντίας τοῦ Κέλσου, τοῦ Ἰουλιανοῦ, καὶ τῶν ὁμοίων αὐτοῖς, ψεξάντων τὸν χριστιανισμὸν ἐπὶ ἐλλείψει σοφῶν ἀνδρῶν, καὶ ἐξικνεῖται τοῦ σκοποῦ αὐτοῦ. Ἀναγινώσκων τις τὸ σύγγραμμα τοῦτο, ὁρᾷ μετὰ παρηγορίας οἵους μεγάλους καὶ σοφοὺς ἄνδρας εἶχεν ἡ Ἐκκλησία, καὶ ὅτε ἡ μάχαιρα καὶ τὸ πῦρ ὠμότατα κατέστρεφον τὰ πάντα ἐν τῇ χριστιανικῇ Ἐκκλησίᾳ. Μία μόνον ἔννοια ἐν τῇ ἀναγνώσει αὐτοῦ θλίβει τὴν ψυχήν: ὅσον πολλὰ ἐκ τῆς ἁγίας

Patr. καὶ ὑπὸ τοῦ Μιγνίου in tom. 40. Patrolog.—

[*] Περὶ εἰκόν. βιβλ. γ'.

(¹) Op. T. 4. 1. p. 164. 264.

(²) Ep. 94 ad Avitum, de libris περὶ ἀρχῶν. Lib. tres advers. Rufin ἰδ. σημ. 59 —63.

(³) Resurrectionis veritas catholica sine carne et ossibus, sine sanguine et membris, intelligi non potest. ubi caro et ossa et membra sunt, ibi est sexuum diversitas, et caet.

ἀρχαιότητος οὐκ ἀφίκοντο ἄχρις ἡμῶν! Οὐ μὴν ἀλλά, κατὰ τὰς μαρτυρίας τοῦ ἁγίου Ἱερωνύμου, πολλὰ ἐξηρευνήθησαν κατὰ τοὺς νεωτέρους χρόνους, ἅτινα πρότερον ἐνόμιζον ἐκλιπόντα(¹). Τὸ Χρονικὸν τοῦ Ἱερωνύμου συνεγράφη μὲν ὑπὸ τοῦ Εὐσεβίου, ἀλλ᾽ ἐν τῇ μεταφράσει εἰς τὴν λατινικὴν γλῶσσαν συνεπληρώθη ὑπὸ τοῦ Ἱερωνύμου ἐν πολλοῖς. Ἐν τῷ προλόγῳ ὁ Ἱερώνυμος γράφει, ὅτι ἀπὸ τοῦ χρόνου τοῦ Νίνου καὶ τοῦ Ἀβραὰμ μέχρι τῆς ἁλώσεως τῆς Τροίας, μόνον μετέφρασε μετ᾽ ἀκριβείας τὸ ἔργον τοῦ Εὐσεβίου οὐδὲν ἐν αὐτῷ προσθείς· ἀπὸ δὲ τῆς ἁλώσεως τῆς Τροίας μέχρι τοῦ 325ου ἔτους, ᾧ καταπαύει τὸ Χρονικὸν τοῦ Εὐσεβίου, προσέθηκε πολλὰ καὶ ἄλλα μετέβαλεν ἐν τῷ συγγράμματι τοῦ Εὐσεβίου, ἑπόμενος τῷ Σουετωνίῳ καὶ ἄλλοις Λατίνοις συγγραφεῦσιν, ἐκτὸς δὲ τούτου ἀπὸ τοῦ 325—378 συνέγραψε τὸ ἑαυτοῦ Χρονικόν. Ὁ Εὐσέβιος ἐν τῷ Χρονικῷ αὑτοῦ ἠβούλετο δεῖξαι διὰ βραχέων τὰ γεγονότα τῆς Γραφῆς ὑπὸ ὡρισμένα ἔτη, καὶ παραστῆσαι τὴν ἱερὰν ἱστορίαν ἐν σχέσει πρὸς τὰς διηγήσεις τῶν ἐθνικῶν συγγραφέων, πρόθεσις ἐξαίρετος! καὶ ἦν ἂν πολυτιμότατον ἔργον, εἰ συνεγράφετο κάλλιον. Ἀπολεσθέντος ἤδη ὅλου σχεδὸν τοῦ δευτέρου μέρους τοῦ Χρονικοῦ τοῦ Εὐσεβίου, τὸ πλῆρες ἔργον τοῦ Ἱερωνύμου ἐστὶ πολλῷ σπουδαιότερον (²). Ὁ εὐσεβὴς ὁδοιπόρος Ἱερώνυμος συνέγραψεν ἱστορίαν εἰς τοὺς βίους τῶν

(¹) Τὸ βιβλίον τοῦτο μετεφράσθη εἰς τὴν ἑλληνικὴν γλῶσσαν ὑπὸ τοῦ φίλου τοῦ Ἱερωνύμου Σωφρονίου. Τὸ πρωτότυπον ἐξεδόθη ἐν τῷ τετάρτῳ τόμῳ τῶν συγγραμμάτων αὐτοῦ. Μετὰ τῆς ἑλληνικῆς μεταφράσεως καὶ ἄλλων συγγραμμάτων παρομοίας ὑποθέσεως καὶ μετ᾽ ἐξαιρέτων σημειώσεων ἐξεδόθη ὑπὸ τοῦ Φαβρικίου ὑπὸ τὴν ἐπιγραφήν: Bibliotheca ecclesiastica, Hamburg. 1718. fol.—

(²) Τὸ Χρονικὸν τοῦ Εὐσεβίου καὶ ἡ μετάφρασις τοῦ Ἱερωνύμου ἐνομίζοντο ἐπὶ πολὺν χρόνον ἀπωλεσθέντα. Ὁ Σκαλίγηρος ἐξέδωκε τὸ Χρονικὸν Lugd. Batan. 1606· ἀλλ᾽ ἐν τῇ ἐκδόσει ταύτῃ εἰσὶ πολλαὶ ἐλλείψεις. Πλήρης καὶ ἐξαίρετος ἔκδοσις ἐγένετο τῇ βοηθείᾳ τῶν βατικαν. χειρογρ. ὑπὸ τοῦ Ἀγγέλου Μαΐου Vet. Auct. col. nov. T. 8. homæ, 1883. [Κατὰ τὸν Οἰκονόμον, ὁ μακάριος Ἱερώνυμος ἐσφάλη εἰς τὴν μετάφρασιν τῶν Εὐσεβίου Χρονικῶν. Περὶ τῶν Ο, ἑρμ. τῆς Π. Θ. Δ, αθ. Α. 77. 79. Β. 388. —Σ. Μ.].—

ἁγίων Πατέρων τῶν Αἰγυπτίων, ἣν κατεχώρησεν ὁ Παλλάδιος ἐν τῷ Λαυσαϊκῷ αὐτοῦ (1). —

Κατ' ἀρχαίας μαρτυρίας (2), ὁ μακάριος Ἱερώνυμος μετέφρασεν ἐκ τῆς ἑλληνικῆς γλώσσης εἰς τὴν λατινικὴν τὸ Μαρτυρολόγιον (3).

§. 189. IV Ὁ Ἱερώνυμος ὡς διάπυρος ζηλωτὴς τοῦ πνευματικοῦ βίου. Παρατηρήσεις περί τινων ἀποφάνσεων αὐτοῦ. Γενικὸν περὶ αὐτοῦ συμπέρασμα.

IV. Εἰ καὶ τὸ ἥμισυ σχεδὸν τῶν συγγραμμάτων τοῦ μακαρίου Ἱερωνύμου ἀναφέρεται εἰς τὴν διδασκαλίαν τῆς κατὰ Χριστὸν ἠθικῆς, ἐν τούτοις οὐδὲν παρ' αὐτῷ εὕρηται σύγγραμμα ἰδίᾳ ἐκτιθὲν τὰς

(1) Ἡ ἱστορία τοῦ Ἱερωνύμου συγκειμένη ἐκ 30 κεφαλαίων ἀποτελεῖ τὸ τρίτον μέρος τοῦ Λαυσαϊκοῦ καὶ ἄρχεται ἀπὸ τῆς βιογραφίας Ἰωάννου τοῦ προφήτου τῆς Θηβαΐδος καὶ καταλήγει εἰς Ἀπολλώνιον τὸν μικρόν. Ἡ ἱστορία ἄρχεται τῷ προλόγῳ τοῦ Ἱερωνύμου, συγγραφέντι ἐπὶ Θεοδοσίου τοῦ Μεγ. Εἰς τὴν συριακὴν γλῶσσαν μετεφράσθη μετὰ τῶν ἄλλων μερῶν τοῦ Λαυσαϊκοῦ κατὰ τὸν ζ'. αἰῶνα, καὶ μέχρι τοῦ νῦν ἐστὶ γνωστὴ ἐν τοῖς ἀρχαίοις ἀπογράφοις ὑπὸ τὸ ὄνομα τοῦ Ἱερωνύμου. Asseman. Bibl. Or. T. 3. p. 1. p. 49. T. 1. p. 609. Maii. collect. vet. Auct. T. 5. p. 45, Montfaucon. Bibl. Coislin. p. 183. Cangii Glossarium med. gr. in indice p. 27. Λατινιστί ἐξεδόθη Antverbiæ, 1615. 1628. Ὁ Ἱερώνυμος ἔγραψε τὸν βίον Παύλου τοῦ Θηβαίου, Ἱλαρίωνος τοῦ μ., καὶ Μάλχου, τῶν μοναχῶν.—

(2) Περὶ τούτου γράφουσιν ὁ Βέδας (Comment. in Act.), ὁ Βαλαφρεῖδος (Walafride) Στράβων (de reb. eccles. c. 28.), Καὶ ὁ Κασσιόδωρος inst divin. c. 32).—

(3) Τὸ μαρτυρολόγιον τοῦ Ἱερωνύμου ἐξεδόθη a luca Dacherio T. 4. Sp. Florent. Luc. 1668. ὑπὸ Migne. Op. S. Hieron. T. XI. p. 434—486. Ἐν τούτοις, ὡς νῦν ἔχει, ὁμιλεῖ περὶ ἀνδρῶν ἀκμασάντων μετὰ τὸν ἅγ. Ἱερώνυμον. Ἴδ. Oudini Comment. litt. T. 1. p. 847-854. Τῷ Ἱερωνύμῳ ἀποδίδοται ὡσαύτως ὡς σύγγραμμα τὸ comes sive Lectionarius, ed: a Balusio in cap. regum Francorum. ed Migne. op. S. Hieron. T. XI. p. 487-530. —

ἀρχὰς τῆς ἠθικῆς. Ἅπαντα τὰ συγγράμματα αὐτοῦ ἅπτονται μερικῶν ὑποθέσεων.

Οὐ μὴν ἀλλ' ὁ μακάριος Ἱερώνυμος καὶ ὡς πρὸς τὴν ἠθικὴν παρέσχε τῇ Ἐκκλησίᾳ τῆς Δύσεως μεγάλας ὑπηρεσίας.

Διαπύρῳ ζήλῳ ἐζήλου, ἵνα ὁ βίος τοῦ κλήρου ᾖ ἄξιος τῆς ἑαυτοῦ κλήσεως. Ἐκ τούτου τοῦ ζήλου ἔπαθε πολλά· ἀλλ' οὐκ ἐπαύετο ἐλέγχειν ἐν ἐπιστολαῖς καὶ διδάσκειν τὸν δυτικὸν κλῆρον. Αἱ πρὸς τὸν Νεπωτιανὸν ἐπιστολαὶ αὐτοῦ περιέχουσιν ἐξαιρέτους ἰδέας περὶ τῆς κλήσεως τῶν κληρικῶν καί εἰσι τὰ μάλιστα ἄξιαι τοῦ ἀναγιγνώσκεσθαι πολλάκις ὑπὸ τῶν κατεχόντων τὸ ὑψηλὸν τοῦτο ἀξίωμα(1). Ἐξαίρετοί εἰσι καὶ αἱ περὶ ἀνατροφῆς τῶν τέκνων ἐπιστολαὶ αὐτοῦ(2).

Θερμὴν εὐσέβειαν ἀποπνέουσιν αἱ ἐπιστολαὶ αὐτοῦ περὶ μετανοίας, περὶ ὑπομονῆς ἐν ταῖς θλίψεσι, καὶ περὶ τελειότητος τοῦ βίου (3).

Κατ' ἐξοχὴν δὲ τὴν ἐξάπλωσιν καὶ τὴν τελειοποίησιν τοῦ μοναχικοῦ βίου ἐν τῇ Δύσει ὀφείλει ἡ δυτικὴ Ἐκκλησία τῷ Ἱερωνύμῳ. Οὐδεὶς ἔγραψε τοσαῦτα ὑπὲρ τοῦ παρθενικοῦ βίου, ὅσα ὁ μακάριος Ἱερώνυμος. Τὸ πλεῖστον μέρος τῶν ἐπιστολῶν αὐτοῦ ἐγράφη τοῖς ἀσπασαμένοις τὸν βίον τοῦτον, περιέχον, ὁτὲ μὲν κανόνας καὶ διδασκαλίας, ὁτὲ δὲ ἐγκώμια τῇ παρθενίᾳ (4). Ὅλα βιβλία συνέγραψεν εἰς ἔλεγχον τῶν μεμφομένων αὐτήν (5). Τὸ περὶ ταύτης τῆς ὑποθέσεως ἄριστον σύγγραμμά ἐστι τὸ βιβλίον αὐτοῦ κατὰ Ἑλβιδίου, ὅστις οὐ παρεδέχετο τὴν παρθενίαν τῆς ὑπεραγίας Θεομήτορος καὶ κατεφρόνει τῆς παρθενίας. Ἐπειδὴ δὲ ὁ Ἑλβίδιος ἐστήριζε τὴν δόξα-

(1) Μεταφρ. ἐν τῇ «Χριστ. Ἀναγν.». τῷ 1836. Ep. 52,58,75.

(2) Ἐν τῇ « Χριστ. Ἀναγν. » τῷ 1834 καὶ 1838. Ep. 107 et 128.

(3) Ep. 52. 66. 71. 90. 92. 100. 118. 145.

(4) Ep. 5. ad Heliodorum de laudae vitae solitariae, ad Pammachium de monachi proposito, ad Lucinium de vitae sancto instituto· ad Julianum de saeculi contemptu· ad Exuperantium de seculo reliquendo· ep. 18 ad Eustochium de custodia virginitatis· ep. 20 ad Pammachium· ad Demetriadem· Περαιτέρω ep. 49. 59. μετὰ μοναχικῶν κανόνων. Ep. 47 ad Furiam et 85 ad Salvinam de viduitate servanda.

(5) Adves. Jovinian. adv. defens. Joviniani, ad Dominionem. adv. Helvidium de perpetua virginitate B. Mariæ.

σίαν αὐτοῦ κατ' ἐξοχὴν ἐπὶ τούτου, ὅτι ἐν τοῖς Εὐαγγελίοις γίγνεται μνεία ἀδελφῶν τοῦ Κυρίου Ἰησοῦ, ὁ Ἱερώνυμος ἐξετάζει τὴν σημασίαν τῆς λέξεως ταύτης κατὰ τὴν χρῆσιν, καὶ δείκνυσιν, ὅτι παρὰ τοῖς Εὐαγγελισταῖς ἡ λέξις ἀδελφὸς οὐδὲν ἄλλο δηλοῖ, ἢ τοὺς συγγενεῖς τοῦ Κυρίου. Ὁ Ἑλβίδιος ἔγραψεν: ὁ γάμος οὐκ ἀπολείπεται τῆς παρθενίας· ὁ Ἱερώνυμος ἀποκρίνεται ταῖς λέξεσι τοῦ Ἀποστόλου (Α'. Κορινθ. ζ'. 29-34), καὶ ἔπειτα γράφει : «Idem tu putas esse diebus et noctibus vacare orationi, vacare jejuniis; et ad adventum mariti expolire faciem, gressum frangere, simulare blanditias? Illa hoc agit, ut turpior appareat, et naturæ bonum infuscet injuria. Haec ad speculum pingitur, et in contumeliam artificis conatur pulchrior esse, quam nata est». Ἑτέρῳ κατηγόρῳ τῆς παρθενίας, ὃς κατὰ τὸ παράδειγμα τῶν Στωϊκῶν ἐξίσου πάσας τὰς κακίας καὶ πάσας τὰς ἀρετάς, ἡρμήνευσε τὴν εὐαγγελικὴν διδασκαλίαν περὶ τῆς ἐν ταῖς ἁμαρτίαις καὶ ταῖς ἀρεταῖς διαφορᾶς(¹). Ἐν τῷ βιβλίῳ *adversus Vigilantium* (κατὰ Οὐϊγιλαντίου), ὃς ὑπελάμβανε τὴν εἰς τὰ ἅγια λείψανα τῶν μαρτύρων ἀποδιδομένην τιμὴν ὡς δεισιδαιμονίαν, διελέγχει ὁ μακάριος Ἱερώνυμος τὴν πλάνην ἐκείνου, δεικνύς, ὅτι ἡ Ἐκκλησία ἐκ πολλοῦ ἤδη σέβει τοὺς ἁγίους τοῦ Θεοῦ καὶ τὰ λείψανα αὐτῶν, διότι ἡ τιμὴ αὕτη συνᾴδει ταῖς ἀρχαῖς τοῦ χριστιανισμοῦ. Τὸν αὐτὸν Οὐϊγιλάντιον ἐλέγχει καὶ ἐν τῇ ἐπιστολῇ πρὸς τὸν πρεσβύτερον Ριπάριον.

Τῷ Ἱερωνύμῳ καὶ ζῶντι καὶ μέχρι τοῦ νῦν οὐ παύονται μεμφόμενοι οὐκ ὀρθάς τινας δοξασίας καὶ ἰδίως περὶ τοῦ γάμου καὶ τῆς τούτου καταστάσεως. Ἀλλ' ἐν τῇ περιστάσει ταύτῃ, ὡς καὶ ἐν ἁπάσαις ταῖς σοφαῖς αὐτοῦ συζητήσεσι καθόλου, οὐκ ἐπιληστέον τῶν φυσικῶν αὐτοῦ διαθέσεων. Ὁ Ἱερώνυμος ἦν ἀνὴρ ἔχων ἰσχυρὰν ψυχήν, ἀλλ' εὐερέθιστον καὶ τραχεῖαν. Ὁ τοιοῦτος τῆς ψυχῆς αὐτοῦ χαρακτὴρ ἦν ἔργον οὐχὶ τῆς βουλήσεως, ἀλλὰ τῆς φύσεως. Ἐντεῦθεν

(¹) « Sunt peccata levia, sunt gravia. Aliud est decem millia talenta debere, aliud quadratem. Et de otioso quidem verbo et adulterio rei tenebimus, sed non est idem suffunti et torqueri, erubescere et longo tempore crutiari». Advers. Jovin. l. 2. T. 4. P. 2. pag. 222.

ἐν ἅπασι τοῖς πολεμικοῖς αὐτοῦ συγγράμμασίν ἐστι leo rugiens. Εἴτε ἐπαινεῖ, εἴτε ψέγει, χρῆται λέξεσιν, αἵτινες αὐταὶ καθ' ἑαυτὰς δηλοῦσι πολλῷ πλεῖον, ἢ ὅπερ ἠβούλετο δηλῶσαι δι' αὐτῶν. Τὰ σκώμματα αὐτοῦ εἰσι δηκτικά. Ἐντεῦθεν κατ' ἐξοχὴν δεῖ προσέχειν τῷ χρόνῳ καὶ ταῖς περιστάσεσι κατὰ τὴν ἀνάγνωσιν τῶν συγγραμμάτων τοῦ Ἱερωνύμου. Τοῦτο πρὸ πολλοῦ ὑπὸ πολλῶν ἐσημειώθη. Ἄλλως δύναταί τις νομίζειν, ὅτι ἓν καὶ τὸ αὐτὸ πρόσωπον ἐν ἑνὶ συγγράμματι τέθειται πάντων ὑψηλότερον, ἐν ἄλλῳ δὲ πάντων ταπεινότερον. Μία καὶ ἡ αὐτὴ ὑπόθεσις ἐν ἑνὶ μὲν συγγράμματι ἐστὶν ὑψηλή, ἐν ἄλλῳ δὲ ταπεινοῦται. Ἐν τοσούτῳ ἡ αἰτία τούτου οὐ κεῖται ἐν τῇ μεταβολῇ τῶν ἐννοιῶν τοῦ συγγραφέως ἀλλ' ἐν μεταβολῇ τῶν λέξεων θυελλώδους ψυχῆς ([1]). Τοῦτο καθορῶμεν καὶ ἐν τῇ περὶ παρθενίας ἔριδι αὐτοῦ. Οὐ κατακρίνει τὸν γάμον, ὡς ὁρῶμεν ἐν τοῖς λοιποῖς αὐτοῦ συγγράμμασιν([2]). ἀλλ' ὅτε ἤλεγχε τοὺς διεφθαρμένους ἐχθροὺς τῆς παρθενίας, ἀπεφαίνετο περὶ αὐτοῦ οὐχὶ εὐνοϊκῶς. Ταῦτα δύναταί τις εἰπεῖν σφάλματα ἐκφράσεων μᾶλλον, ἢ ἐννοίας.

Τοιούτῳ τρόπῳ ἐξετάζοντες τὰ συγγράμματα τοῦ Ἱερωνύμου εὑρίσκομεν, ὅτι οὗτος διαπρέπει κατ' ἐξοχὴν ἐπὶ πολυμαθείᾳ. Κατὰ τὴν βαθύνοιαν καὶ τὸ ἐταστικὸν βλέμμα ὑπερέχουσιν αὐτοῦ πολλοί. Αὐτὸς καλεῖ ἑαυτὸν διαλεκτικὸν καὶ φιλόσοφον, ῥήτορα καὶ θεολόγον· ἀλλ' ἡ διαλεκτικὴ αὐτοῦ οὐκ ἔστιν τόσον ἰσχυρά, ὅσον ἡ γλῶσσα εὔγλωττος, ἰδίως ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ, αἵτινες

([1]) Αὐτὸ τοῦτο καὶ ἐδήλωσεν, ὁμιλῶν περὶ τῆς μεθόδου τῆς πολεμικῆς αὐτοῦ: « Aliud est γυμναστικῶς scribere, aliud δογματικῶς. In priori vagam esse disputationem et adversario respondentem nunc haec, nunc illa proponere, argumentari ut libet, aliud loqui, aliud agere, panem, ut dicitur, ostendere, lapidem tenere ». Advers. Jovinian.—

([2]) Advers. Jovinian. T. 2. p. 306. « Ecclesia matrimonia non damnat, sed subjicit, nec abjicit, sed dispensat sciens, in domo magna non solum esse vasa aurea et argentea, sed et lignea et fictilia . . . » Ep. 30 ad Pammach, « Aperiant aures obtrectatores mei et videant, me secundas et et tertias nubtias concessisse in Domino ».

πολλάκις κρίνονται ἀριστουργήματα τέχνης (*). « Οἱ καρποὶ τῆς σοφίας αὐτοῦ, λέγει ὁ μακάριος Αὐγουστῖνός, εἰσι τοιοῦτοι ὥστε δυστυχὴς κλητέος ὁ μὴ σέβων τηλικούτους καὶ τοσοῦτον ἁγίους πόνους, καὶ μὴ εὐχαριστῶν Κυρίῳ τῷ Θεῷ (1). Ὁ σεβαστὸς πρεσβύτερος (2), ὁ ἄνθρωπος τοῦ Θεοῦ (3), διὰ τῆς σοφίας αὐτοῦ εἰς δόξαν Θεοῦ, καὶ τῇ Θείᾳ βοηθείᾳ τοσοῦτον συνετέλεσεν εἰς τὴν τελειοποίησιν τῆς ἐκπαιδεύσεως ἐν τῇ λατινικῇ Ἐκκλησίᾳ, ὅσον οὐδεὶς τῶν πρὸ αὐτοῦ (4). Περὶ τὴν ἐκμάθησιν τῆς ἁγίας Γραφῆς ἠσχολήθη ἀναντιρρήτως τοσοῦτον, ὅσον οὐδεὶς ἄλλος τῶν πατέρων τῆς Ἐκκλησίας. Τοῦτο τίθησιν αὐτὸν ἐγγὺς τῆς τάξεως ἐκείνης, ἣν κατέχουσιν ὁ μέγας Βασίλειος καὶ ὁ θεολόγος Γρηγόριος ἀναφορικῶς πρὸς τὴν ἠθικὴν καὶ τὴν δογματικήν.

---

[*] Περὶ τῆς εὐγλωττίας τοῦ Μακαρίου Ἱερωνύμου ὁ Ἔρασμος ἀποφαίνεται γνώμην τὴν ἑξῆς : « in illo, λέγει, quæ phrasis! quod dicendi artificium ! quo non Christianos modo omnes longo post se intervallo reliquit ; verum etiam cum ipso Cicerone certare videtur ? Ego certe, nisi me sanctissimi viri fallit amor , cum Hieronymianam orationem cum Ciceroniana confero , videor mihi nescio quid in ipso eloquentiae pricipe desiderare . Tanta in hoc nostro varietas , tantum sentensiarum pondus, tanta enthymematum volubilitas. Quod artificium in eloquentiam litteris indicare , ut difficillimum est, ita longe utilissimum ». Lib. V. ep. ad Greverardum . Μετὰ τοῦ αὐτοῦ ἐνθουσιασμοῦ ποιεῖται λόγον ὁ Ἔρασμος περὶ τοῦ μακακαρίου Πατρὸς πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ. Σ. Μ.

(1) Ep. 167. §. 21.

(2) August. de nat. et grat. Chr. 65. §. 78.

(3) Ep. 148. §. 8.

(4) Ep. 40. §. 2. Κατὰ τὸν αὐτὸν τρόπον ἀποφαίνεται περὶ αὐτοῦ ὁ Κασσιόδωρος. Divin. lect. cap. XXI. [Τῷ μακαρίῳ τούτῳ πατρὶ ἐποίησεν ὁ Πρόσπερος τὸ ἑξῆς ὡραῖον ἐγκώμιον :

» Tunc etiam Bethlemi praeclari nominis hospes,
» Hebraeo simul et Graio, Latioque venustus
» Eloquio, morum exemplum, mundique magister,
» Hieronymus libris valde excellentibus hostem
» Dissemit, noscique dedit, quo turbine veram
» Vellent exortae lucem obscurare tenebrae. Σ. Μ.].

ΤΕΛΟΣ ΤΟΥ Β'. ΤΟΜΟΥ.

ΠΙΝΑΞ

Τῶν ἐν τῷ δευτέρῳ τόμῳ περιεχομένων.

ΔΕΥΤΕΡΑ ΠΕΡΙΟΔΟΣ·

ΠΡΩΤΟΝ ΤΜΗΜΑ.

(312 — 420)

Σελ.

Σελ.

ΤΩΝ ΕΝ ΤΩ͂Ι Α'. ΤΟΜΩ͂Ι ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ

Σελ. 3. στιχ. 6. ἀντὶ ὅτε ἀνάγν. ἐν ᾧ
» » » 7. » ἠκροῶντο ἀνάγν. οἱ Ἀπόστολοι ἄνδρες ἠκροῶντο
» 4. » 10. » δυνάμει ἀνάγν. δυνάμεις
» » » 11. » αἰῶνας ἀνάγν. αἰώνων
» » » 15. » ἀόρατον ἀνάγν. ὁρατὴν
» 5. » 6. » ἐπ' αὐτῷ ἀνάγν. ἐφ' ἑαυτῷ
» 32. » 11. » Φιλαδελφεῖς ἀνάγν. Φιλιππησίους
» 55. » 6. » Ἑλληνικῇ ἀνάγν. Λατινικῇ
» 104. » 12. » ἑαυτοῖς ἀνάγν. ἑαυτῆς
» 121. » 14. » μορφαὶ ἀνάγν. μομφαὶ
» 123. » 20. » κομίσητε ἀνάγν. κομίσηται
» 151. » 4. » Ὠριγένους ἀνάγν. Εἰρηναίου
» 165. » 19. » τῆς ἀνάγν. τὴν
» 204. » 3. » τοῦ δεῖ ἀνάγν. δεῖν
» 238. » 10. » γεγυμνασμένων ἀνάγν. γεγραμμένων
» 259. » 26. » τριακοστὸν ἀνάγν. τριακοσιοστὸν
» 260. » 11. » γνώσεων ἀνάγν. γονέων
» 298. σημ. 1. » ἐν τῷ συγγρ. ἀνάγν. οὔτε ἐν τῷ συγγράμ.
» 305. στίχ. 13. » ἡμῶν ἀνάγν. ὑμῶν
» 315. » 1. » μαρτυρίᾳ ἀνάγν. τῇ μητρὶ
» 368. » 7. » ἐπιθεώρησε ἀνάγν. οὐκ ἐπεθεώρησε
» » » 8. » ὡς οὔσης ἀνάγν. ὡς οὐκ οὔσης
» 374. » 10. » Ἑρμηνευτικῶς ἀνάγν. Ἑρμηνευτικῆς
» 375. » 17. » ἀποθοῦμεν ἀνάγν. ἀπαντῶμεν
» 384. » 1. » Ἰησοῦ Χριστῷ ἀνάγν. τοῦ Ἰησοῦ Χριστοῦ
» 388. » 4. » περὶ τοῦ τῆς ἐκπλ. ἀνάγν. τοῦ δυνατοῦ τῆς ἐκπλ.
» 401. » 4. » οἱ μὲν ὅσον ῥαδίως ἀνάγν. ὅσον ῥαδίως οἱ μὲν
» 404 σημ. 4. » ἐν τῷ βιβλίῳ ἀνάγν. ἐν τῷ βίῳ.

Σημ. Ἄλλα τινὰ τυπογραφικὰ σφάλματα ἐνιαχοῦ παρεισφρήσαντα, ἀφίενται εἰς τὴν ἐπιεικῆ τοῦ ἀναγνώστου διόρθωσιν.











